1 *ἐκβαλεῖν* A²: *ἐκβάλλειν* NA^pr ‖ **3** *τοῦ δικαίου* del. Rosbg. ‖ **4.5** *τουτί γ' ἐ.* mal. Kleyn; v. Kohm¹ 42 ‖ **7** *ζητεῖν*] *σφαλερῶς* N (*σφαλ* N²) ‖ **8** *ἐπῃνέσατε*] *ἀπηλλάξατε* N² (*ἀπηλλάξα* a corr.) ‖ **9** *ἀναγκάζειν* N (*ζειν τα δι* vel sec. Thalh. *ζειν τα δ* N²) ‖ **10** *τὰς* ante *ἀποφάσεις* add. N² ‖ **11** *ἐν τῷ δήμῳ*] *ἐν τῷ τότε* N²: *ἐν τῷ δήμῳ τότε* susp. Maetz.: *τότε ἐν τῷ δήμῳ* Rosbg. ‖ **12** *σ'* Bl. (*σε* Wolf): *σου* codd.: ⟨*κατὰ*⟩ *σοῦ* Wolf: *σοῦ* ⟨*τι*⟩ Thalh., cf. p. 34, 5; *ἐὰν* ⟨*σὲ*⟩ *ἀποφήνῃ* ⟨*καὶ τοὺς μετὰ*⟩ *σοῦ* ⟨*τὸ χρυσίον ἔχοντας*⟩ *ἡ βουλή* e. gr. Kohm¹ 43 | *σεαυτῷ* Taylor: *σαυτῷ* Kleyn ‖ **14** *ποῖ* Rei.: *ποῦ* ‖ **17** *δοκοῦν εἶναι* A ‖ **19** *καὶ δημοκρατίαν* del. Kleyn: *ἅπασαν* Rosbg. cl. p. 34, 11 ‖ **20** *ὃ*] *ᾧ* A | *διαπεφύλαχε* Wolf: *-λακε* ‖ **22** *ὃ*] *ᾧ* A¹ | *θήκας* Wolf: *διαθήκας* A: *ἀποθήκας* N

Δίκαια μὲν οὖν, δίκαια τρόπον γέ τινα πάσχει τὸ 10
συνέδριον· εἰρήσεται γὰρ ἃ γιγνώσκω. δυοῖν γὰρ θάτερον
ἐχρῆν αὐτούς, ἢ καὶ τὴν προτέραν ζήτησιν τὴν ὑπὲρ τῶν
τριακοσίων ταλάντων τῶν παρὰ τοῦ Περσῶν βασιλέως
5 *ἀφικομένων ζητεῖν, καθάπερ συνέταξεν ὁ δῆμος, ἵνα τότε*
δόντος δίκην τοῦ θηρίου τούτου, καὶ τῶν μερισαμένων
ἐκεῖνα τὰ χρήματα φανερῶν γενομένων, καὶ τῆς περὶ Θη-
βαίους προδοσίας ἐξελεγχθείσης ἣν οὗτος προδέδωκεν,
ἀπηλλάγμεθα τούτου τοῦ δημαγωγοῦ δίκην ἀξίαν δόντος·
10 *ἢ εἰ ταῦθ' ὑμεῖς ἐβούλεσθε Δημοσθένει συγχωρεῖν καὶ* 11
πολλοὺς ἐν τῇ πόλει τοὺς καθ' ὑμῶν δωροδοκήσοντας
εἶναι, τὴν περὶ τῶν νῦν ἀποπεφασμένων ζήτησιν χρημά-
των μὴ προσδέχεσθαι, πεῖραν ὑμῶν ἐν τοῖς πρότερον
εἰληφότας· ὅπου [γ'] οὕτω καλῶς καὶ δικαίως τῆς ἀπο-
15 *φάσεως τῆς κατὰ τούτου καὶ τῶν ἄλλων νυνὶ γεγενημένης,*
καὶ τῆς ἐξ Ἀρείου πάγου βουλῆς οὔτε τὴν Δημοσθένους
οὔτε τὴν Δημάδου δύναμιν ὑποστειλαμένης, ἀλλὰ τὸ δί-
καιον αὐτὸ καὶ τἀληθὲς προὐργιαίτερον πεποιημένης,
οὐδὲν ἧττον περιέρχεται Δημοσθένης περί τε τῆς βουλῆς 12
20 *βλασφημῶν, καὶ περὶ ἑαυτοῦ λέγων οἷσπερ ἴσως καὶ πρὸς*
ὑμᾶς αὐτίκα χρήσεται λόγοις ἐξαπατῶν ὑμᾶς, ὡς 'ἐγὼ
Θηβαίους ὑμῖν ἐποίησα συμμάχους.' οὔκ, ἀλλὰ τὸ κοινῇ
συμφέρον ἀμφοτέραις ἐλυμήνω ταῖς πόλεσιν ὦ Δημό-
σθενες. 'ἐγὼ παρέταξα πάντας εἰς Χαιρώνειαν.' οὔκ,
25 *ἀλλ' ἔλιπες μόνος αὐτὸς τὴν ἐκεῖ τάξιν. 'ἐγὼ πολλὰς ὑπὲρ*
ὑμῶν ἐπρέσβευσα πρεσβείας.' ἐφ' οἷς οὐκ οἶδ' ὅ τί ποτ' 13

4 *τριακ. ταλ. τῶν παρὰ τοῦ Περσῶν βασιλέως*] cf. p. 17, 1; 18, 4; Aeschin. 3, 173. 239; Hyper. 1, 25, 19; Diodor. 17, 4, 7 s.; Plut. Demosth. 20, 4; Iustin. 11, 2, 7 ‖ 7. 8 *τῆς περὶ Θηβαίους προδοσίας*] cf. p. 18, 3; 19, 23 ss. etc.; Aeschin. 3, 209. 239—240. 259; Diodor. 17, 8, 2 ‖ 22 cf. Demosth. 18, 153 ss. ‖ 25 cf. p. 37, 18; 41, 14 s.; Aeschin. 3, 148. 152. 155. 175; Plut. Demosth. 20, 2; [Plut.] Vit. X orat. 845 f

3 *αὐτούς*] *α* .... N ‖ 5 *ἀφικομένου* A^{pr} corr. A^{1} | *προσέταξεν* Bait. ‖ 10 *ἢ* om. A^{pr} add. A^{1} ‖ 11 *δωροδοκήσαντας* A^{pr} (corr. ras.) ‖ 13 *ἀποδέχεσθαι* A^{pr} corr. A^{1} ‖ 14 *γ'* Ald.: *γὰρ* ‖ 20 *οἷσπερ ἴσως* N^{2}: *οἷς περισσῶς* AN^{pr} ‖ 24 *χ. ρώνειαν* N^{pr} corr. N^{1} ‖ 25 *αὐτῶν* Hertlein ‖ 26 *ἐφ' αἷς* Rei.

ἂν ἐποίησεν ἢ τίνας ἂν εἶπε λόγους, εἰ συνέβη κατορθῶσαι αὐτῷ ἃ συνεβούλευσεν, [ὅς] ἐπὶ τοῖς τοιούτοις ἀτυχήμασι καὶ κακοῖς ἅπασαν ἐπεληλυθὼς τὴν οἰκουμένην, ὅμως ἀξιοῖ δωρεὰς αὐτῷ δ[ί]δοσθαι τὰς μεγίστας, λαμβάνειν δῶρα κατὰ τῆς πατρίδος καὶ λέγειν καὶ πράττειν κατὰ τοῦ 5
14 *δήμου ἃ ἂν βούληται. καὶ Τιμοθέῳ μὲν ὦ Ἀθηναῖοι, Πελοπόννησον περιπλεύσαντι καὶ τὴν ἐν Κερκύρᾳ ναυμαχίαν νικήσαντι Λακεδαιμονίους καὶ Κόνωνος υἱεῖ τοῦ τοὺς Ἕλληνας ἐλευθερώσαντος καὶ Σάμον λαβόντ[ι] καὶ Μεθώνην καὶ Πύδναν καὶ Ποτ⟨ε⟩ίδαιαν καὶ πρὸς ταύταις* 10 *ἑτέρας εἴκοσι πόλεις, οὐκ ἐποιήσασθ' ὑπόλογον, οὐδὲ τῆς τότ' ἐνεστώσης κρίσεως οὐδὲ τῶν ὅρκων, οὓς ὀμωμο-*
p. 92 *κότες ἐφέρετε τὴν ψῆφον, | ἀντικατ[η]λλάξασθ[ε] τὰς τοιαύτας εὐεργεσίας, ἀλλ' ἑκατὸν ταλάντων ἐτιμήσατε, ὅτι χρήματ' αὐτὸ[ν] ⟨Ἀριστοφῶν⟩ ἔφη παρὰ Χίων εἰλη-* 15
15 *φέναι καὶ Ῥοδίων· τὸν δὲ κατάπτυστον τοῦτον καὶ Σκύθην — ἐξάγομαι γάρ —, ὃν οὐχ εἷς ἀνὴρ ἀλλὰ πᾶσ' ἡ ἐξ Ἀρείου πάγου βουλὴ ζητήσασ' ἀποπέφαγκεν χρήματ' ἔχειν καθ' ὑμῶν, καὶ ὃς ἀποπέφανται μισθαρνῶν καὶ δωροδοκῶν κατὰ τῆς πόλεως καὶ ταῦτ' ἐξελήλεγκται, τοῦ-* 20 *τον οὐ τιμωρησάμενοι παράδειγμα ποιήσετε τοῖς ἄλλοις;*

6 *Τιμοθέῳ*] v. Kirchner, P. A. 13700; Sundwall, Nachtr. 159; Davies, APF 506—510; cf. etiam p. 70, 6 ‖ **8** *νικήσαντι Λακεδ.*] cf. p. 70, 8 | *Κόνωνος*] v. Kirchner, P. A. 8707 et add.; Davies l.l. ‖ **9** *Σάμον λαβόντι*] cf. Demosth. 15, 9 ‖ **14** *ἐτιμήσατε*] cf. Isocr. 15, 129ss. ‖ **15** *⟨Ἀριστοφῶν⟩*] v. Kirchner, P. A. 2108; cf. FGrHist III b Index s. v.; Davies, APF 64—66 ‖ **16** *καὶ Σκύθην*] cf. Rut. Lupus II 9 (= p. 34, 11 Brooks); Aeschin. 3, 111—172

1 *ἐποίησεν* **NA**: *ἐποίει* ‖ **2** *αὐτῷ* **N**: *αὐτῷ* cett. *αὐτὸν* propter hiat. mal. Bl. | *ὅς* Tayl.: *ὁ* | *τοσούτοις* mal. Bl. ‖ **4** *αὐτῷ* Bk.: *αὐτῷ* | *δίδοσθαι* Naber: *δεδόσθαι* ‖ **5** *κατὰ … τῆς* (priore *τῆς* [?] eraso) **A** | *πράττειν ⟨ἐξεῖναι⟩* mal. Bl. | *κατὰ τοῦ*] *τὰ τοῦ* **A**pr ut vid. ‖ **7** *πελοπόνησον* **NA**pr corr. **A**1 ‖ **9** *λαβόντι* Saup. (ita **NA**pr p. 70, 9): *λαβόντος* ‖ **10** *Ποτείδ.* Bl.: *ποτίδ.* ‖ **11** *οὐκ*] *οὐδὲν τούτων* or. 3, 17 ‖ **12** *οὐδὲ*] *καὶ* or. 3, 17 ‖ **13** *φέρετε* or. 3, 17 | *ἀντικατηλλάξασθε* Ald.: *ἀντικαταλλάξασθαι* ‖ **15** *αὐτὸν ⟨Ἀριστοφῶν⟩* Gruter cl. p. 70, 15: *αὐτὸς* | *ἔφη*] *ἔφηνε* Naber ‖ **16** *δὲ* om. **N**2 ‖ **17** *ἀλλ' ἅπασα* mal. Wurm ‖ **19** *ὅς*] *ὡς* **A**pr corr. **A**2: *νῦν* **N**2 (.... *ς* **N**pr putat Thalh.) | *ἀπέφανται* **A**pr corr. **A**1

ὃς οὐκ ἐκ τῶν βασιλικῶν μόνον εἰληφὼς χρυσίον φανερός ἐστιν, ἀλλὰ καὶ ἐξ αὐτῆς τῆς πόλεως κεχρηματισμένος· ὁ νῦν οὐδὲ τῶν ὑφ' Ἁρπάλου κομισθέντων χρημάτων εἰς τὴν πόλιν ἀποσχόμενος. καίτοι τί μέρος ἐστὶ τῶν ὑπὸ 16
5 *Τιμοθέου πεπραγμένων ἀγαθῶν ἃς Δημοσθένης ἐπρέσβευσεν {εἰς Θήβας} πρεσβείας; ἢ τίς οὐκ ἂν καταγελάσειεν ὑμῶν τῶν τούτο[υ] τολμώντων ἀκούειν, ἀντιθεὶς ἐφ' αἷς οὗτος σεμνύνεται πράξεσιν ἐκείνας ἃς Τιμόθεος ὑμᾶς καὶ Κόνων εὐεργέτησαν; ἀλλὰ γὰρ οὐ πρὸς τοῦτο τὸ*
10 *κάθαρμα παραβάλλειν δεῖ τοὺς ἄξια καὶ τῆς πόλεως καὶ τῶν προγόνων ὑπὲρ ὑμῶν πράξαντας. παρασχόμενος οὖν τὸ ψήφισμα τὸ Τιμοθέῳ γενόμενον, πάλιν ἐπὶ τοὺς περὶ τούτου λόγους βαδιοῦμαι. λέγε.*

ΨΗΦΙΣΜΑ

15 *Ὁ τοιοῦτος ὦ Δημόσθενες πολίτης, ὃς δικαίως ἂν καὶ* 17 *συγγνώμης καὶ χάριτος ἐτύγχανε παρὰ τῶν ἐν ἐκείνοις τοῖς χρόνοις συμπεπολιτευμένων, οὐ λόγοις ἀλλ' ἔργοις μεγάλα τὴν πόλιν ἀγαθὰ ποιήσας, καὶ διαμείνας ἐπὶ τῆς ⟨αὐτῆς⟩ πολιτείας καὶ οὐκ ἄνω καὶ κάτω μεταβαλόμενος ὥσπερ*
20 *σύ, ἐτελεύτησεν οὐ τηλικαύτας τὸν δῆμον αἰτήσας δωρεάς, ὥστε τῶν νόμων εἶναι κρείττων, οὐδ' οἰόμενος δεῖν τοὺς ὀμωμοκότας κατὰ τοὺς νόμους οἴσειν τὴν ψῆφον ἄλλο τι προὐργιαίτερον ποιεῖσθαι τῆς εὐσεβείας, ἀλλ' ὑπομένων καὶ κρίνεσθαι ⟨. . . .⟩, εἰ δόξειεν τοῖς δικασταῖς, καὶ οὐ*
25 *καιροὺς λέγων, οὐδ' ἕτερα φρονῶν καὶ δημηγορῶν.*

1 *μόνον* NA^{1}: *μόνος* A^{pr} | *φανερῶς* A^{ls} ‖ **3** *καὶ νῦν* mal. Maetz. fort. recte ‖ **6** *εἰς Θήβας* del. Kleyn ‖ **7** *τούτου* Rei.: *τοῦτο* ‖ **8** *πρά-ξεις* A^{pr} corr. A^{1} ‖ **9** *εὐεργ.* NA(**BLP**): *εὐηργ.* N^{2}(**MZ**) | *οὐ*] *ὁ* N^{pr} corr. N^{2} ‖ **14** *ΨΗΦΙΣΜΑ* om. **A** (sed habet **B**) ‖ **15** *ὦ*] *ὁ* **A** ‖ **16** *ἐ. τύγχανεν* N^{pr} corr. ras. N^{2} ‖ **17** *συμπεπολιτευμένων* **N** (*τευ* corr. N^{2} pro quattuor litt. i.e. *τευο*): *συμπολιτευομένων* **A** ‖ **18** *τ͂ς* A^{pr} corr. A^{1} | *αὐτῆς* add. Cobet ‖ **19** *μεταβαλόμενος* A^{pr}: *-λλόμενος* NA^{1} ‖ **22** *ὠμωμοκότας* A^{pr} corr. A^{2} ‖ **22—23** *ἄλλο — εὐσεβείας* add. A^{2s} ‖ **23** *προυργ.* N^{2}: *πουργ.* N^{pr} ‖ **24** *καὶ κρίνεσθαι*] *κατακρίνεσθαι* Wolf. lacunam indic. Bl. idemque *καὶ ἁλίσκεσθαι* tentavit (*καὶ ἁλῶναι* iam Rei.): *καὶ κατακρίνεσθαι* Herw. ‖ **25** *καιροὺς λέγων*] cf. p. 23, 1 s. | *ἕτερα δὲ δημηγορῶν* Naber

18 *Οὐκ ἀποκτενεῖτ' ἄνδρες Ἀθηναῖοι τὸν μιαρὸν τοῦτον ἄνθρωπον, ὃς πρὸς ἑτέροις πολλοῖς καὶ μεγάλοις ἁμαρτή-
μασι καὶ τὴν Θηβαίων πόλιν περιεῖδεν ἀνάστατον γενο-
μένην, τριακόσια τάλαντα λαβὼν εἰς τὴν ἐκείνων σωτηρί-
αν παρὰ τοῦ Περσῶν βασιλέως, καὶ Ἀρκάδων ἡκόντων εἰς* 5
Ἰσθμὸν καὶ τὴν μὲν παρ' Ἀντιπάτρου πρεσβείαν ἄπρακτον ἀποστειλάντων, τὴν δὲ παρὰ Θηβαίων τῶν ταλαιπώρων προσδεξαμένων, οἳ κατὰ θάλατταν μόλις ἀφίκοντο πρὸς ἐκείνους, ἱκετηρίαν ἔχοντες καὶ κηρύκεια συμπεπλεγμένα,
19 *ὥς ἔφασαν, ἐκ τῶν θαλλῶν, ἐροῦντες τοῖς Ἀρκάσιν ὅτι* 10
*οὐ τὴν πρὸς τοὺς Ἕλληνας φιλίαν Θηβαῖοι διαλῦσαι βουλό-
μενοι τοῖς πράγμασιν ἐπανέστησαν, οὐδ' ἐναντίον τῶν Ἑλ-
λήνων οὐδὲν πράξοντες, ἀλλὰ τὰ παρ' αὐτοῖς ὑπὸ τῶν Μα-
κεδόνων ἐν τῇ πόλει γ⌈ιγ⌉νόμενα φέρειν οὐκέτι δυνάμενοι,
οὐδὲ τὴν δουλείαν ὑπομένειν, οὐδὲ τὰς ὕβρεις ὁρ⌈ᾶ⌉ν τ⌈ὰ⌉ς* 15
20 *εἰς τὰ ἐλεύθερα σώματα γιγνομένας, — οἷς ἑτοίμων γενο-
μένων τῶν Ἀρκάδων βοηθεῖν, καὶ ἐλεησάντων ἐν οἵ⟨οι⟩ς
ἦσαν κακοῖς, καὶ φανερὸν ποιησάντων, ὅτι τοῖς μὲν σώ-
μασι μετ' Ἀλεξάνδρου διὰ τοὺς καιροὺς ἀκολουθεῖν ἠναγ-
κάζοντο, ταῖς δ' εὐνοίαις μετὰ Θηβαίων καὶ τῆς τῶν* 20
Ἑλλήνων ἐλευθερίας ἦσαν, καὶ τοῦ στρατηγοῦ αὐτῶν Ἀστύλου ὠνίου ὄντος, ὥσπερ καὶ Στρατοκλῆς εἶπε, καὶ δέκα τάλαντ' αἰτοῦντος ὥστ' ἀγαγεῖν τὴν βοήθειαν τοῖς Θηβαίοις, καὶ τῶν πρεσβευτῶν ὡς τοῦτον ἐλθόντων, ὃν ᾔδεσαν ἔχοντα τὸ βασιλικὸν χρυσίον, καὶ δεομένων καὶ ἱκε- 25
τευόντων δοῦναι τὰ χρήματ' εἰς τὴν τῆς πόλεως σωτηρίαν,

3 *τὴν Θηβ. πόλιν*] cf. Aeschin. 3, 239—240; Diodor. 17, 8 ‖ **5** *καὶ Ἀρκάδων ἡκόντων*] cf. Arr. Anab. 1, 7, 4; Diodor. 17, 8, 6 ‖ **18** ss. *τοῖς μὲν σώμασι — ἦσαν* ex Isocr. 14, 15

1 *ἄνδρες* **NA(B)**: cf. p. 21, 8. 22, 2. 26, 17. 34, 21. 47, 10. 51, 20 *ὦ ἄ. Ἀθ.* est p. 59, 15 in **NA** ‖ **9** *ἱκετηρίας* Bl. | *κηρύκεια* $\mathbf{N}^{1}$ (*κ. ρύκεια* $\mathbf{N}^{pr}$) $\mathbf{A}^{pr}$: *κηρύκια* $\mathbf{A}^{1}$ (eras. *ε*) | **9—10** *συμπεπλεγμένα … θαλλῶν* (*θαλ . ῶν* **N**) del. Saup. (Epist. crit. p. 132) ‖ **10** {*τῶν*} ? ‖ **11** *τοὺς* om. apogr. ‖ **13** *αὑτοῖς* Bk.: *αὐτοῖς* ‖ **14** *γιγνόμενα* Bl.: *γιν.* $\mathbf{M}^{pr}$**Z** *γεν.* **NA** ‖ **15** *ὁρᾶν τὰς* Bk.: *ὁρῶντες* ‖ **17** *ἐλεησάντων*] *βοηθησάντων* $\mathbf{A}^{pr}$ corr. $\mathbf{A}^{1}$ | *οἵοις* Maetz.: *οἷς* ‖ **20** *τῆς*] *τοῖς* $\mathbf{A}^{pr}$ corr. $\mathbf{A}^{2}$

οὐκ ἐτόλμησεν ὁ μιαρὸς οὗτος καὶ ἀσεβὴς καὶ αἰσχροκερ- 21
δὴς ἀπὸ τῶν πολλῶν χρημάτων ὧν εἶχε δέκα μόνον τάλαντα
δοῦναι, τοσαύτας ὁρῶν ἐλπίδας ὑποφαινούσας εἰς τὴν
Θηβαίων σωτηρίαν, ἀλλὰ περιεῖδεν ἑτέρους δόντας τοῦτο
5 τὸ ἀργύριον, ὥσπερ καὶ Στρατοκλῆς εἶπεν, ὑπὲρ τοῦ πάλιν
ἀπελθεῖν οἴκαδε τοὺς ἐξεληλυθότας Ἀρκάδων καὶ μὴ
βοηθῆσαι τοῖς Θηβαίοις. | ἆρ᾽ ὑμῖν δοκεῖ μικρῶν κακῶν 22 p. 93
ἢ τῶν τυχόντων ὅλῃ τῇ Ἑλλάδι αἴτιος γεγενῆσθαι Δημο-
σθένης καὶ ἡ τούτου φιλαργυρία; ἢ προσήκειν αὐτὸν ὑφ᾽
10 ὑμῶν ἐλέου τινὸς τυγχάνειν τοιαῦτα διαπεπραγμένον, ἀλλ᾽
οὐ τῆς ἐσχάτης τιμωρίας καὶ ὑπὲρ τῶν νῦν καὶ ὑπὲρ τῶν
πρότερον γεγενημένων ἀδικημάτων; ἀκούσονται τὴν κρί-
σιν ὦ Ἀθηναῖοι τὴν ὑφ᾽ ὑμῶν ἐν τῇ τήμερον ἡμέρᾳ γεγενη-
μένην πάντες ἄνθρωποι· θεωρήσουσιν ὑμᾶς τοὺς κρίνον-
15 τας, ὅπως χρῆσθε τῷ τὰ τοιαῦτα διαπεπραγμένῳ. ὑμεῖς 23
ἔσθ᾽ οἱ διὰ πολλῷ τῶν ὑπὸ τούτου πεπραγμένων ἀδικη-
μάτων ἐλάττω μεγάλας καὶ ἀπαραιτήτους ἐνίοις ἐπιτεθη-
κότες τιμωρίας. ὑμεῖς Μένωνα μὲν τὸν μυλωθρὸν ἀπε-
κτείνατε, διότι παῖδ᾽ ἐλεύθερον ἐκ Πελλήνης ἔσχεν ἐν τῷ
20 μυλῶνι· Θεμίστιον δὲ τὸν Ἀφιδναῖον, διότι τὴν Ῥοδίαν
κιθαρίστριαν ὕβρισεν Ἐλευσινίοις, θανάτῳ ἐζημιώσατε,
Εὐθύμαχον δέ, διότι τὴν Ὀλυνθίαν παιδίσκην ἔστησεν ἐπ᾽
οἰκήματος. διὰ δὲ τοῦτον τὸν προδότην παῖδες καὶ γυναῖ- 24
κες αἱ Θηβαίων ἐπὶ τὰς σκηνὰς τῶν βαρβάρων διενεμή-

18 *Μένωνα τὸν μυλ.*] cf. Harpocr. s. v. *μυλωθρός* (ubi Maussac scr. *Δημοσθένους* pro *Καλλισθένους*) || **20** *Θεμίστιον δὲ τὸν Ἀφιδν.*] v. Kirchner, P. A. 6646 || **22** *Εὐθύμαχον*] Kirchner, P. A. 5625 || **23—24** *παῖδες καὶ γυναῖκες ... διενεμήθησαν*] cf. Demosth. ap. Agatharchidem, Phot. Bibl. p. 447 a 32 *παῖδας δὲ καὶ γυναῖκας τῶν ἡγησαμένων τῆς Ἑλλάδος ἐπὶ τὰς σκηνὰς τῶν βαρβάρων διένειμε*

9 *φιλαρχία* A^pr corr. A^1 || **11** *καὶ ὑπὲρ τῶν νῦν* om. N || **15** *χρῆσθε*] *κέχρησθε* Bl.: *χρήσεσθε* Rosbg. || **16** *πολλῷ* N^2 A^2: *πολλῶν* N^pr A^pr || **17** *ἐπιτεθηκότες* Bl. cl. Meisterhans^3 189, 6: *ἐπιτεθεικότες* || **20** *μυλῶνι* Saup.: *μύλωνι* | *ἀφνιδαῖον* A^pr corr. A^1 || **21** *θανάτῳ ἐζημιώσατε* propter hiat. delere mavult Bl.: *ἐζημιώσατε θανάτῳ* Fuhr

θησαν, πόλις ἀστυγείτων καὶ σύμμαχος ἐκ μέσης τῆς
Ἑλλάδος ἀνήρπασται, ἀροῦται καὶ σπείρεται τὸ Θηβαίων
ἄστυ τῶν κοινωνησάντων ὑμῖν τοῦ πρὸς Φίλιππον πολέ-
μου. ἀροῦταί φημι καὶ σπείρεται· καὶ οὐκ ἠλέησέ φημι ὁ
μιαρὸς οὗτος πόλιν οὕτως οἰκτρῶς ἀπολλυμένην, εἰς ἣν 5
ἐπρέσβευσεν ὑφ᾽ ὑμῶν ἀποσταλείς, ⸢ἧς⸣ ὁμόσπονδος καὶ
ὁμοτράπεζος πολλάκις γέγονεν, ἣν αὐτός φησι σύμμαχον
ὑμῖν ποιῆσαι, ἀλλὰ πρὸς οὓς εὐτυχοῦντας πολλάκις ἦλθε,
25 *τούτους ἀτυχοῦντας προδέδωκεν. κἀκεῖνοι ⟨μέν⟩, ὡς οἱ*
πρεσβύτεροι λέγουσι, καταλελυμένης τῆς δημοκρατίας 10
τῆς παρ᾽ ἡμῖν καὶ συνάγοντος ἐν Θήβαις Θρασυβούλου
τοὺς φυγάδας ἐπὶ τὴν Φυλῆς κατάληψιν, καὶ Λακεδαιμο-
νίων ἰσχ⟨υ⟩όντων καὶ ἀπαγορευόντων μηδέν᾽ Ἀθηναίων
ὑποδέχεσθαι μηδ᾽ ἐκπέμπειν, ὅμως συνέπραττον τῷ δήμῳ
τὴν κάθοδον καὶ τὸ πολλάκις ἀνεγνωσμένον παρ᾽ ὑμῖν 15
ἐψηφίσαντο ψήφισμα, †μὴ περιορᾶν ἐάν τις ὅπλα διὰ τῆς
26 *χώρας τῆς Ἀθηναίων† ἔχων πορεύηται· οὗτος δ᾽ ὁ κοινὸν*
αὐτὸν τοῖς συμμάχοις, ὡς αὐτίκα φήσ⟨ε⟩ι, παρέχων οὐδὲν

1—2 *πόλις ἀστυγείτων … ἀνήρπασται* ex Aeschin. 3, 133 cf. Wurm 58 ‖ **2—3** *ἀροῦται … πολέμου* Stratocli tribuit Agatharchides l. l. a 19, ubi *τῶν συναγωνισαμένων ὑμῖν τὸν πρὸς Φ. πόλεμον* ‖ **9** ss. Xen. H. G. 2, 4, 2; Hell. Oxy. 17 (12) 1; Diodor. 14, 6, 3; 32, 1; Plut. Lys. 27; Pelop. 6, 5; Iustin. 5, 9, 4 s.

3 *κοινωσάντων* A^{pr} corr. A^{1} | *ὑμῖν* **N(M)**: *ἡμῖν* **A** | *τοῦ* A^{1s} ‖ **4** *καὶ οὐκ ἠλέησεν, οὐκ ἠλέησε, φημί* Rei. ‖ **5** *οὕτως οἰκτρ. ἀπ.* **N.**: *οἰκτρ. οὕτως ἀπ.* A^{1}: *οἰκτρ. ἀπ. οὕτως* A^{pr} cett. ‖ **6** *ἧς* Wolf: *οἷς* ‖ **7** *ἐγεγόνει* Weidner ‖ **8** *ἡμῖν* **A** | *πολλάκις ἦλθε*] *πολλ. ἐλθὼν ἐκολάκευσε* Kleyn: *κόλαξ ἦλθε* Haupt: *κολακεύσων ἦλθε?* Bl. cl. Demosth. 45, 65: *πολλὰς πρεσβείας ἦλθε* Rosbg. ‖ **9** *τούτοις* **N** | *μὲν* add. Bk. ‖ **12** *.υγάδας* A^{pr} corr. A^{1} | *ἐπὶ* Bk.: *ἔτι* N^{pr}**A**: *διά τε* N^{2}: *ἐς* vulg. ‖ **13** *ἰσχυόντων* Wolf: *ἰσχόντων* ‖ **16** *μὴ περιορᾶν*] *μὴ* del. mal. Saup. cl. Plut. Pelop. 6, 5 Lys. 27: *μηδέν᾽ ὁρᾶν* Schneider | *τις* del. Vogel, cf. p. 13, 11 s. ‖ **16—18** locus corruptus v. Saup. Epist. crit. 132—134 qui bene ad sensum scripsit: *μηδέν᾽ ὁρᾶν, ἐάν τις Ἀθηναίων ὅπλα ἔχων διὰ τῆς χώρας πορεύηται*; v. et. Madvig, Adv. crit. 1, 455—456 ‖ **17** *τῆς Ἀθηναίων*, quod del. Dobr., codd.: aut *τῆς ⟨αὐτῶν⟩ Ἀθην.* aut *τῆς* inducendum Saup.: *τῆς Θηβαίων* Rei.: *τις Ἀθηναίων* Vogel: *ἐάν τις Ἀθηναίων ἐπὶ τοὺς τυράννους ὅπλα διὰ τῆς Βοιωτίας κομίζῃ, μηδένα Βοιωτὸν ἀκούειν μηδὲ ὁρᾶν* Schneider; alii alia ‖ **18** *αὐτὸν* N^{pr} corr. N^{2} | *φήσει* Wolf: *φησὶ*

τοιοῦτον ἔπραξεν, οὐδὲ τῶν χρημάτων ὧν ἔλαβεν εἰς τὴν
τούτων σωτηρίαν οὐδὲν ἠθέλησε προέσθαι. ὧν ὑμεῖς ὦ
ἄνδρες μνησθέντες, καὶ τὰ ἀτυχήματα τὰ γιγνόμενα διὰ
τοὺς προδότας θεωρήσαντες ἐν ταῖς Ὀλυνθίων καὶ Θη-
5 βαίων συμφοραῖς, ὑπὲρ ὑμῶν αὐτῶν ὀρθῶς νυνὶ βουλεύεσθε,
καὶ τοὺς δωροδοκεῖν ἐθέλοντας κατὰ τῆς πατρίδος ἀνελόν-
τες, ἐν ὑμῖν αὐτοῖς καὶ τοῖς θεοῖς τὰς ἐλπίδας τῆς σωτη-
ρίας ἔχετε. μόνως γὰρ οὕτως ἄνδρες Ἀθηναῖοι μόνως καὶ 27
τοὺς ἄλλους ποιήσετε βελτίους, ἐὰν τοὺς ἐνδόξους τῶν
10 πονηρῶν ἐξελέγξαντες κολάσητε τῶν ἀδικημάτων ἀξίως.
τοὺς μὲν γὰρ τυχόντας τῶν κρινομένων, ὅταν ἁλῶσιν,
οὐδεὶς οἶδεν οὐδὲ ζητεῖ πυθέσθαι τί πεπόνθασι· τοὺς δ'
ἐνδόξους πάντες πυνθάνονται, καὶ τοὺς δικάζοντας ἐπαι-
νοῦσιν, ὅταν τὸ δίκαιον μὴ πρόωνται ταῖς τῶν κρινομένων
15 δόξαις. ἀνάγνωθι τὸ ψήφισμα τὸ Θηβαίων. λέγε τὰς μαρ-
τυρίας. ἀναγίγνωσκε τὰς ἐπιστολάς.

ΨΗΦΙΣΜΑ. ΜΑΡΤΥΡΙΑΙ. ΕΠΙΣΤΟΛΑΙ

Μισθωτὸς οὗτος ὦ Ἀθηναῖοι, μισθωτός {οὗτος} ἐστι 28
παλαιός. οὗτος ἦν ὁ τὴν πρεσβείαν τὴν παρὰ Φιλίππου
20 πορευομένην ὡς ἡμᾶς ἐκ Θηβῶν καλέσας, καὶ τοῦ λυθῆναι
τὸν πρῶτον πόλεμον αἴτιος γενόμενος· οὗτος Φιλοκράτει
συνα[π]ελογεῖτο τῷ γράψαντι πρὸς Φίλιππον εἰρήνην, δι'
ἣν ὑμεῖς ἐκεῖνον ἐξεβάλετε, καὶ ζεύγη τοῖς πρέσβεσιν
ἐμισθώσατο τοῖς μετ' Ἀντιπάτρου δεῦρ' ἐλθοῦσιν, ἀνα-

8 ss. cf. Lys. 14, 12 ‖ 21 Φιλοκράτει] v. Aeschin. 2, 13–14

1 ⟨ἀλλ'⟩ οὐδὲ Thalh. ‖ 4 προδόντας A[pr] (ras. corr.) | καὶ ⟨ταῖς⟩ Θηβ. Naber ‖ 7 σὺν τοῖς Cobet ‖ 8 ἄνδρες (ἄνδρ.. N[pr]) Ἀθ. N[2]: ὦ ἄ. Ἀθ. A cf. p. 18, 1 ‖ 10 τῶν ἀδικημάτων N (ut est p. 12, 24. 63, 4): τῆς πονηρίας (quod exstat p. 68, 10) A ‖ 15–17 ΨΗΦΙΣΜΑ post Θηβαίων, ΜΑΡΤΥΡΙΑΙ post μαρτυρίας trp. Schmidt ‖ 18 οὗ-τος[2] secl. Bl. ‖ 19 πάλαι mal. Dobr. | παρὰ Φιλ. NA: παρὰ τοῦ Φιλ. M et vulg. ante Bk., cf. p. 38, 12. 41, 7 ‖ 20 :κκαλέσας A (ras. corr.) ‖ 22 συναπελογεῖτο Wurm cl. Aeschin. 3, 62. 2, 14: συν-ανελογεῖτο codd.: συνανεκοινολ. Ald.: συνεκοινολ. Rei.: συνωμολ. Turr. auct. Saup. | τὴν πρὸς mal. Bl.

λαμβάνων αὐτοὺς καὶ τὸ κολακεύειν τοὺς Μακεδόνας πρῶ-
29 τος εἰς τὴν πόλιν εἰσάγων. μὴ ἀφῆτ' ἄνδρες Ἀθηναῖοι, μὴ
ἀφῆτε τὸν ἐπὶ τοῖς τῆς πόλεως καὶ τῶν ἄλλων Ἑλλήνων |
p. 94 ἀτυχήμασιν ἐπιγεγραμμένον ἀτιμώρητον, εἰλημμένον ἐπ'
αὐτοφώρῳ δῶρ' ἔχοντα κατὰ τῆς πόλεως, μηδὲ τῆς ἀγα- 5
θῆς τύχης [ὑ]μᾶς ἐπὶ τὸ βέλτιον ἀγούσης, καὶ τὸν μὲν ἕτερον
τῶν τὴν πατρίδα λελυμασμένων ἐκ τῆς πόλεως ἐκβεβλη-
κυίας, τοῦτον δ' ὑμῖν ἀποκτεῖναι παραδούσης, αὐτοὶ τοῖς
πᾶσι συμφέρουσιν ἐναντιωθῆτε, ἀλλὰ μετοιωνίσασθε τὰς
τῆς πόλεως πράξεις, εἰς τούτους τοὺς ἡγεμόνας τὰς ἀτυχίας 10
30 τρέψαντες. εἰς ποῖον γὰρ καιρὸν ἀποθήσεσθε τοῦτον ὑπολα-
βόντες χρήσιμον ὑμῖν αὐτοῖς ἔσεσθαι; ἔχοι τις ἂν εἰπεῖν ἢ
ὑμῶν ἢ τῶν περιεστηκότων, εἰς ποῖ' οὗτος πράγματ' εἰσ-
ελθὼν ἢ ἴδια ἢ κοινὰ οὐκ ἀνατέτρ[ο]φεν; οὐκ εἰς μὲν τὴν
Ἀριστάρχου οἰκίαν εἰσελθών, βουλεύσας μετ' ἐκείνου τὸν 15
Νικοδήμῳ θάνατον κατασκευασθέντα, ὃν ἴστε πάντες,
ἐξέβαλε τὸν Ἀρίσταρχον ἐπὶ ταῖς αἰσχίσταις αἰτίαις; καὶ
τοιούτῳ φίλῳ Δημοσθένει ἐχρήσατο, ὥστε δαίμον' αὐτῷ
τοῦτον καὶ τῶν γεγενημένων συμφορῶν ἡγεμόνα νομίσαι
31 προσελθεῖν; οὐκ ἐπειδὴ τῷ δήμῳ συμβουλεύειν ἤρξατο, 20
ὡς μήποτ' ὤφελεν — ἀφήσω γὰρ αὐτοῦ τὰ ἴδια· ὁ γὰρ
χρόνος οὐκ ἐπιδέχεται μακρολογεῖν —, ἀγαθὸν μὲν ἁπλῶς
εἰπεῖν οὐδὲν γέγονε τῇ πόλει, ἐν κινδύνοις δὲ καὶ κακοῖς
καὶ ἀδοξίᾳ πᾶσ' ἡ Ἑλλάς, οὐ μόνον ἡ πόλις, καθέστηκε;

6 τὸν μὲν ἕτερον ...] v. E. Badian, JHS 81, 1961, 35 n. 144; J. A. Goldstein, The Letters of Demosth., New York and London 1968, 44 n. 1 || **11** ss. cf. Aeschin. 3, 158 || **14** εἰς μὲν τὴν Ἀριστ. κτέ.] cf. Aeschin. 2, 166 (etiam 1, 171. 2, 148); Athen. 13, 592 f et v. Kirchner, P. A. 1656 || **16** Νικοδήμῳ] v. Kirchner, P. A. 10868

2 ἄνδρες N: ὦ ἄ. A cf. p. 18, 1 || **3** τοῖς add. in ras. N[1s] || **6** ὑμᾶς Saup.: ἡμᾶς || **8** παραδιδούσης Naber || **10** ἀτυχίας NA (M): ἀποτυχίας apogr. || **12** ἔχει N || **13** προεστηκότων A[pr] corr. A[1] || **14** ἀνατέτροφεν Cobet (it. p. 52, 5. 66, 9): ἀνατέτραφεν || **16** νι-κοδήμ. N[pr] corr. N[1] || **17** ἀρίστ ..... A[pr] corr. A[1] || **21** ἰδίᾳ N || **22** ἐν-δέχεται Wurm || **23** ἐν om. NA[pr] add. A[2] || **24** ἀδοξίᾳ A: ἀδο-ξίαις N[2] (ἀδοξί.. N[pr] sec. Thalh.) | πᾶσα om. N (prob. Franke), sed cf. Demosth. 19, 11

καὶ πλείστοις καιροῖς ἐν ταῖς δημηγορίαις χρώμενος, ἅπαντας ἀφῆκε τοὺς ὑπὲρ ὑμῶν καιρούς; καὶ ἐν οἷς τις ἂν φιλόπολις ἀνὴρ καὶ κηδεμὼν τῆς πόλεως προείλετό τι πρᾶξαι, τοσοῦτον ἐδέησεν ὁ δημαγωγὸς καὶ χρήσιμος 5 *αὐτίκα φήσων ὑμῖν γεγενῆσθαι πρᾶξίν τινα προφέρειν, ὥστε καὶ τοὺς πράττοντας ὑπὲρ ὑμῶν τι τῆς αὐτοῦ τύχης ἀνέπλησεν.* 32 *ἀπῆρε Χαρίδημος πρὸς τὸν Περσῶν βασιλέα, χρήσιμος ὑμῖν οὐ λόγοις ἀλλ' ἔργοις βουλόμενος γενέσθαι, καὶ τοῖς ἰδίοις τοῖς ἑαυτοῦ κινδύνοις ὑμῖν καὶ τοῖς ἄλλοις* 10 *Ἕλλησι βουλόμενος τὴν σωτηρίαν παρασκευάσαι· περιιὼν οὗτος κατὰ τὴν ἀγορὰν ἐλογοποίει καὶ τῶν πραττομένων εἰσεποίει κοινωνὸν αὑτόν· οὕτω κατέστρεψεν ἡ τύχη ταῦτα, ὥστ' ⸢ἐ⸣ναντία γ⸢ε⸣νέσθαι τοῖς προσδοκωμένοις.* 33 *ἐξέπλευσεν Ἐφιάλτης μισῶν μὲν τοῦτον, ἀναγκαζόμενος* 15 *δὲ τῶν πραγμάτων κοινωνεῖν· ἀφείλετο καὶ τοῦτον ἡ τύχη τῆς πόλεως. Εὐθύδικος προῃρεῖτο τὰς ὑπὲρ τοῦ δήμου πράξεις· ἔφη τούτῳ Δημοσθένης φίλος εἶναι· ⟨καὶ⟩ οὗτος ἀπώλετο. καὶ ταῦθ' ὑμεῖς ὁρῶντες καὶ ἐπιστάμενοι πολὺ βέλτιον ἢ ἐγώ, οὐ λογίζεσθε, οὐ σκοπεῖσθε πρὸς ὑμᾶς* 20 *αὐτούς, τεκμαιρόμενοι τὰ μέλλοντ' ἐκ τῶν γεγενημένων, ὅτι οὐδὲν οὗτος χρήσιμος ἀλλ' ἢ τοῖς ἐχθροῖς κατὰ τῆς πόλεως ⟨. . .; . . .⟩ συστῆσαι παρασκευὴν ἑτέραν οἷα ἐπ'* 34

7 *Χαρίδημος*] v. Kirchner, P. A. 15380; Davies, APF 570—572 ‖ **14** *Ἐφιάλτης*] v. Kirchner, P. A. 6156 ‖ **16** *Εὐθύδικος*] v. Kirchner, P. A. 5552 ‖ **20** *τεκμ. τὰ μέλλ. ἐκ τῶν γεγ.*] cf. Andoc. 3, 2; Eurip. fr. inc. 1073, 6 N.[2]; Isocr. 4, 141

1 *καιροῖς* cf. p. 17, 25 | *ἐν* in ras. **N**[1] ‖ **2** *καὶ* add. **A**[2] ‖ **3** *τῆς πόλεως* om. **A** ‖ **4** ⟨*καὶ*⟩ *τοσ.* Kohm[1] 42 | ⟨*δ'*⟩ *ἐδέησεν* Thalh. ‖ **5** *ὑμῖν* **N(LMPZ)**: *ἡμῖν* **A** | *προφέρειν* ⟨*ἔχειν*⟩ Naber ‖ **6** *αὑτοῦ* Bk.: *αὐτοῦ* ‖ **7** *πρὸς τῶν περσῶν* **N** ‖ **9** *αὐτοῦ* **A**[2] | *ἡμῖν* **A** ‖ **10** *περιιὼν* **NA**: *περιὼν* **B**: *περὶ ὧν* vulg. ‖ **11** *οὗτος* **A**: *οὕτως* **N** ‖ **12** fort. *αὐτὸν* **N**[pr] ‖ **13** *ὥστ' ἐναντία* Bait.: *ὡς τἀναντία* | *γενέσθαι* Bl.: *γίγν.* **N** *γίν.* **A** ‖ **16** *εὐθύδι.ος* **N**[pr] corr. **N**[1] ‖ **17** *καὶ* add. Rei. ‖ **18** *ὑμῖν* **A**[pr] corr. **A**[1] | *πολλοὶ* **N**[pr] corr. **N**[2s] ‖ **22** lac. post *πόλεως* indic. Maetz. (⟨*πότε γὰρ ἂν οἴεσθε*⟩ *συστῆναι* Thalh.), post *ἐγένετο* Saup. | *κατασκευὴν* **A** | *ἐπ' Ἄγιδος* Wesseling: *ἐπ' αἰγὸς* codd. *ἔναγχος* Cobet

Ἄ[γιδ]ος ἐγένετο, ὅτε Λακεδαιμόνιοι μὲν ἅπαντες ἐξεστρά-
τευσαν, Ἀχαιοὶ δὲ καὶ Ἠλεῖοι τῶν πραγμάτων ἐκοινώνουν,
ὑπῆρχον δὲ ξένοι μύριοι, Ἀλέξανδρος δ', ὥς οἱ λέγοντες,
ἐν Ἰνδοῖς ἦν, ἡ δ' Ἑλλὰς ἅπασα διὰ τοὺς ἐν ἑκάστῃ τῶν
πόλεων προδότας ἀχθομένη τοῖς παροῦσι πράγμασιν ἠσ- 5
μένει μεταβολήν τινα τῶν παρεστηκότων κακῶν. τί οὖν;
35 *ἐν τούτοις τοῖς καιροῖς Δημοσθένης τίς ἦν, ὁ τοῦ συμβου-*
λεῦσαι καὶ γράψαι κύριος καὶ φήσων αὐτίκα δὴ μισεῖν τὰ
καθεστηκότα πράγματα; ἐῶ γὰρ τοὺς ἄλλους κινδύνους.
ἔγραψάς τι περὶ τούτων {κινδύνων}; συνεβούλευσας; ἐπό- 10
ρισας χρήματα; μικρόν τι χρήσιμος ἐγένου τοῖς ὑπὲρ τῆς
κοινῆς σωτηρίας πράττουσιν; οὐδ' ὁτιοῦν, ἀλλὰ περιήεις
κατασκευάζων λογοποιούς, καὶ παρ' αὑτῷ γράφων ἐπιστο-
λ[ὰς] καὶ καταισχύνων τὴν τῆς πόλεως δόξαν, ἐκ τῶν
36 *δακτύλων ἀναψάμενος περιεπορεύετο, τρυφῶν ἐν τοῖς τῆς* 15
πόλεως κακοῖς, καὶ ἐπὶ φορείου κατακομιζόμενος τὴν εἰς
Πειραιᾶ ὁδόν, καὶ τὰς τῶν πενήτων ἀπορίας ὀνειδίζων.
εἶθ' οὗτος εἰς τοὺς μέλλοντας ὑμῖν καιροὺς ἔσται χρήσιμος,
παραβεβηκὼς ἅπαντας τοὺς παρεληλυθότας; τοιούτων ὦ
δέσποιν' Ἀθηνᾶ καὶ Ζεῦ σῶτερ συμβούλων καὶ ἡγεμόνων 20
p.95 *ὤφελον τυχεῖν οἱ πολεμήσαντες | τ[ῇ] πόλ[ει], καὶ μη-*
δε⟨πώ⟩ποτε βελτιόνων.

1 ss. cf. Aesch. 3, 165; Diodor. 17, 48 et 62; E. Badian, Agis III, Hermes 95, 1967, 170—192; De Ste. Croix, The Origins of the Peloponnesian War, London 1972, 376—378

1 *ἐξεστρατεύκεσαν* Bl. dubit. ‖ **3** „*ὥς οἱ ἄγχιστα* (immo *ἐγγύτατα*) *λέγοντες* Baiter cl. Isocr. 9, 28" Bl.: *ὥς ἦσαν οἱ λ.* Rei.: *ὥς σὺ ἔλεγες* Maetz. cl. Aeschin. 3, 164 ‖ **5** *ἠσμένει*] fort. *ἀνέμενε* Kontos (*Γλωσσ. Παρατηρήσεις* 545) ‖ **6** *τῶν παρεστ. κακῶν* **N**: *τῶν κακῶν τῶν περιεστηκότων* (*παρεστ.* **AB**) **ALZ**; *κακῶν* del. Weidner ‖ **8** *μησεῖν* **A**pr corr. **A**1 ‖ **9** *κινδύνους* del. Franke; *καιρούς* mal. Maetz., cf. Demad. § 11 (Bl.) ‖ **10** *τούτων {κινδύνων}* Bk. (Add.): *τουτῶν* **A**: *τοῦ ... τῶν* ut vid. **N**pr 3 litt. erasis: *τούτων ⟨τῶν⟩ κ.* Wurm: *τούτων τῶν καιρῶν* Maetz. ‖ **12** *περι ... ς* **N**pr corr. **N**1: *περιήει* Franke ‖ **13** *γεγραφὼς* Maetz. ‖ **13** s. *καὶ παρ' αὑτῷ γεγραφὼς ἐπιστολὴν* post *δόξαν* trp. Maetz. | *ἐπιστολὰς* mal. (cl. Aeschin. 3,164) Bl.: *-λὴν* codd.; *ἐπιστολὴν ἣν κατ.* Cobet ‖ **15** *περιεπορεύετο* ... Franke ‖ **16** *φορίου* **N** | *εἰς* in ras. **NA**1: *ἐκ* **A**pr ‖ **21** *ὤφελον* **A**2: *ὄφελον* **NA**pr | *τῇ πόλει* Steph.: *τὴν πόλιν* codd.; *καταπολεμήσαντες τὴν πόλιν* Rei.: ⟨*πρὸς*⟩ *τὴν πόλιν* Cobet | *μηδεπώποτε* Bl.: *μηδέποτε*

Οὐκ ἀναμνήσεσθ' ὦ ἄνδρες τὰς τῶν πρεσβυτέρων πρά- 37
ξεις, οἳ μεγάλων καὶ πολλῶν κινδύνων καταλαμβανόντων
τὴν πόλιν ἀξίως τῆς πατρίδος καὶ τῆς ἑαυτῶν ἐλευθερίας
καὶ τῆς δόξης τῆς δικαίας ὑπὲρ τῶν τοῦ δήμου συμφερόν-
5 *των ἐκινδύνευσαν; ὧν τοὺς μὲν ἀρχαίους ἐκείνους μακρὸν*
ἂν εἴη λέγειν, Ἀριστείδην καὶ Θεμιστοκλέα, τοὺς ὀρθώ-
σαντας τὰ τείχη τῆς πόλεως καὶ τοὺς φόρους εἰς ἀκρόπο-
λιν ἀνενεγκόντας παρ' ἑκόντων καὶ βουλομένων τῶν Ἑλλή-
νων, ἀλλὰ ταυτὶ τὰ μικρὸν πρὸ τῆς ἡμετέρας ἡλικίας γε- 38
10 *γενημένα ὑπὸ Κεφάλου τοῦ ῥήτορος καὶ Θράσωνος τοῦ*
Ἑρχιέως καὶ Ἠλείου ⟨καὶ⟩ Φορμισίου καὶ ἑτέρων ἀνδρῶν
ἀγαθῶν, ὧν ἐνίων ἔτι καὶ νῦν ζῇ τὰ σώματα. τούτων γὰρ
οἱ μὲν φρουρουμένης ὑπὸ Λακεδαιμονίων τῆς Καδμείας
βοηθήσαντες τοῖς εἰς Θήβας κατιοῦσι τῶν φυγάδων, τοῖς
15 *ἰδίοις κινδύνοις ἠλευθέρωσαν πόλιν ἀστυγείτονα καὶ πολὺν*
χρόνον δουλεύουσαν, οἱ δὲ πείσαντ⌈ο⌉ς ἐξελθεῖν ὑμῶν 39
τοὺς προγόνους Κεφάλου ⌈τοῦ τὸ⌉ ψήφισμα γράψαντος, ὃς
οὐ καταπλαγεὶς τὴν Λακεδαιμονίων δύναμιν, οὐδὲ λογι-

7.8 *καὶ τοὺς φόρους εἰς ἀκρόπ. ἀνενεγκόντας*] cf. Lycurg. fr. IX 2 *καὶ μύρια τάλαντα ἀργυρίου εἰς τὴν ἀκρόπολιν ἀνενεγκών* (de Pericle) ‖ **8** cf. etiam Ael. Arist. (Panath.) 1, 172, 7ss. Ddf. ‖ **10** *Κεφάλου τοῦ ῥήτορος*] v. Kirchner, P. A. 8277; Sundwall, Nachtr. 109; Hell. Oxy. 7 (2) 2; cf. p. 39, 18 | *Θράσωνος τοῦ Ἑρχιέως*] v. Kirchner, P. A. 7384; Davies, APF 239 ‖ **11** *Ἠλείου*] v. Kirchner, P. A. 6400 et cf. 6401; Davies, APF 210—211 | *Φορμισίου*] v. Kirchner, P. A. 14945 ‖ **13**ss. cf. Ael. Arist. (Panath.) 1, 111, 17. 172, 7. 172, 17—173, 11 ‖ **15** cf. Diodor. 15, 25s.

4 *δικαίας*] *οἰκείας* Markland: *παλαιᾶς* Bk., cf. Lyc. 110: *ἀρχαίας* Saup.: *ἰδίας* Maetz. | *δήμου* N: *δημοσίου* A (def. Thalh. cl. Aeschin. 3, 58); *τῶν δημοσίᾳ συμφ.* Dobr. dubit. ‖ **6** *ἀνορθώσαντας* mal. Bl. ‖ **11** *Ἑρχιέως* (.*ρχι*...*ως* A[pr] corr. A[1]): *Ἐρχιέως* Weidner | *Ἠλείου* Rei.: *ἡλιοῦ* NA: *Ἡλίου* vulg. | ⟨*καὶ*⟩ *Φορμισ.* Bergk: *φορμισ.* (*φορμησ.* N) ‖ **12** *ζῇ τὰ*] *ζητεῖ* A[pr] corr. A[1] | ⟨*καὶ*⟩ *τὰ σ.* Bl., sed cf. Aeschin. 3, 138 ‖ **13** *καδμίας* N ‖ **14** *θή. ας* A[pr] corr. A[1]; *εἰς Θήβας* del. Naber ‖ **16** *πείσαντος* Bl.: *-ντες* ‖ **17** *προγόνους*] *πατέρας* mal. Thalh. fort. recte: *περιπόλους* Naber | *τοῦ τὸ* Bl.: *τούτου* codd.: *τοῦτο τὸ* Bk.: *τὸ* Dobr. cl. Aeschin. 3, 187; Din. p. 34, 19 ‖ **18** *οὐ* om. N[pr] add. N[2]

*σάμενος ὅτι τὸ κινδυνεύειν καὶ τὸ γράφειν ὑπὲρ τῆς πό-
λεως ἐπισφαλές ἐστιν, ἔγραψεν ἐξιέναι βοηθήσοντας Ἀθη-
ναίους τοῖς κατειληφόσι τῶν φυγάδων Θήβας· καὶ ἐξελ-
θόντων ἐκεῖσε τῶν ὑμετέρων πατέρων ὀλίγαις ἡμέραις
ἐξεβλήθη ὁ Λακεδαιμονίων φρούραρχος, ἠλευθέρ[ω]ντο* 5
Θηβαῖοι, διεπέπρακτο ἡ πόλις ἡ ὑμετέρα ἄξια τῶν προ-
40 *γόνων. ἐκεῖνοι ἦσαν, ἐκεῖνοι ὦ Ἀθηναῖοι ἄξιοι σύμβουλοι
καὶ ἡγεμόνες ὑμῶν καὶ τοῦ δήμου, μὰ Δί' οὐ τὰ τοιαῦτα
κινάδη, οἳ πεποιήκασιν μὲν οὐδὲν οὐδὲ πράξουσιν ἀγαθὸν
ὑπὲρ τῆς πόλεως, τὴν δ' ἑαυτῶν ἀσφάλειαν τηροῦντες καὶ* 10
*παντ⟨αχ⟩όθεν ἀργυριζόμενοι καὶ πεποιηκότες τὴν πόλιν
ἀδοξοτέραν ἑαυτῶν, καὶ νῦν εἰλημμένοι δῶρα καθ' ὑμῶν
εἰληφότες, παρακρούονθ' ὑμᾶς, καὶ ἀξιοῦσι τοιοῦτοι γε-
γενημένοι περὶ τῆς ἑαυτῶν πλεονεξίας παραγγέλλειν· οὓς
χρῆ⟨ν⟩ τεθνάναι πάλαι κατὰ τὸ ἑαυτῶν ψήφισμα, τοιαῦτα* 15
διαπεπραγμένους.

41 *Οὐκ αἰσχύνεσθ' ἄνδρες Ἀθηναῖοι, τὴν κατὰ Δημοσθέ-
νους τιμωρίαν ἐκ τῶν ἡμετέρων λόγων μόνων ἡγούμενοι
δεῖν κρίνειν; οὐκ ἴστε τοῦτον αὐτοὶ δωροδόκον ὄντα καὶ
κλέπτην καὶ προδότην τῶν φίλων, καὶ τῆς πόλεως ἀνάξιον* 20
*καὶ αὐτὸν καὶ τὴν περὶ τοῦτον τύχην γεγενημένην; ἀπὸ
ποίων ψηφισμάτων οὗτος ἢ ποίων νόμων οὐκ εἴληφεν*
42 *ἀργύριον; εἰσί τινες ἐν τῷ δικαστηρίῳ τῶν ἐν τοῖς τριακο-
σίοις γεγενημένων, ὅθ' οὗτος ἐτίθει τὸν περὶ τῶν τριηράρ-*

19—20 *δωροδόκον ὄντα ... καὶ προδότην*] cf. p. 50, **11** s. *προδότης ὢν καὶ δωροδόκος* ‖ **21—22** *ἀπὸ ποίων ψηφισμάτων κτέ.*] cf. pap. Berol. 9781, vs. 170 ss. ‖ **24** s. *τὸν περὶ τῶν τριηράρχων νόμον*] cf. Demosth. 18, 102—103; Hyper. fr. 134

1 *τὸ κινδ.* om. mal. Wolf; *τὸ συμβουλεύειν* Emper., sed cf. Demosth. 8, 68 ‖ **2** *ἔγραψαν* **A**^{pr} corr. **A**^{1} ‖ **3** *τῶν* add. **A**^{1s} ‖ **4** *ἐκεῖσε* **NA**: *ἐκεῖ* apogr. ‖ **5** *ἐξεβέβληθ'* propter hiat. Bl. | *λακεδ.* **N**: *τῶν λακεδ.* **A** | *ἠλευθέρωντο* Bk. (Add.): *ἠλευθεροῦντο* ‖ **6** *ἡμετέρα* **N**, quod praefert Wurm ‖ **8** *τὰ* add. **A**^{2} ut vid. ‖ **11** *πανταχόθεν* Bl.: *πάντοθεν* ‖ **12** *ἐξεληλεγμένοι* Naber ‖ **13** *παρακρούονθ'* **NA**^{pr}: *-κρούονται* **A**^{1} vulg. ‖ **14** *παραγγέλειν* **A**^{pr} corr. **A**^{1}: *παράγειν* Bait.: *παραληρεῖν*? Thalh. ‖ **15** *χρῆν* Bk. (Add.): *χρὴ* | *κατὰ τὸ ἑ. ψήφ. πάλαι* **A** ‖ **17** *ἄνδρες* **NA(BL)**: *ὦ ἄ.* ‖ **18** *ὑμετ.* **A**^{pr} corr. **A**^{2} | *μόνον* Ald. et vulg. ante Bk. ‖ **20** *κρέπτην* **A**^{pr} corr. **A**^{1} | *τῶν* om. **A** | *ἀνάξιον*] *ἀλιτήριον* Franke ‖ **22** *ἢ ποίων νόμων οὗτος* **N**

χων νόμον; οὐ φράσετε τοῖς πλησίον ὅτι τρία τάλαντα λαβὼν μετέγραφε καὶ μετεσκεύαζε τὸν νόμον καθ' ἑκάστην ἐκκλησίαν, καὶ τὰ μὲν ἐπώλει ὧν εἰλήφει τὴν τιμήν, τὰ δ' ἀποδόμενος οὐκ ἐβεβαίου; εἴπατέ μοι πρὸς Διὸς ὦ ἄνδρες, 43
5 *προῖκα τοῦτον οἴεσθε γράψαι Διφίλῳ τὴν ἐν πρυτανείῳ σίτησιν καὶ τὴν εἰς τὴν ἀγορὰν ἀνα⟨τε⟩θησομένην εἰκόνα; ἢ τὸ ποιῆσαι πολίτας ὑμ⸢ετέρου⸣ς Χαιρέφιλον καὶ Φείδωνα καὶ Πάμφιλον καὶ Φ⸢είδ⸣ιππον, ἢ πάλιν Ἐπιγένην καὶ Κόνωνα τοὺς τραπεζίτας; ἢ τὸ χαλκοῦς ἐν ἀγορᾷ στῆσαι*
10 *⸢Παι⸣ρισάδην καὶ Σάτυρον καὶ Γόργιππον τοὺς ἐκ ⸢τοῦ Πόντου⸣ τυράννους, παρ' ὧν αὐτῷ χίλιοι μ⸢έδιμν⸣οι τοῦ ἐνιαυτοῦ πυρῶν ἀποστέλλονται, τῷ οὐδ' ὅποι καταφύγῃ αὐτίκα φήσοντι εἶναι; ἢ τὸ γράψαι Ταυροσθένην Ἀθηναῖον* 44
εἶναι ⟨τὸν⟩ τοὺς μὲν αὐτοῦ πολίτας καταδουλωσάμενον,

1 *τάλαντα λαβὼν*] cf. Aeschin. 3, 222 ‖ **5** *Διφίλῳ*] v. Schaefer, Demosth.^{2} 3, 296 n. 4; Kirchner, P. A. 4467; id. RE V 1, 1903, 1152 nr. 7; cf. Hesperia 29, 1959, 230; Davies, APF 167—169 ‖ **7** *Χαιρέφιλον*] v. Kirchner, P. A. 15187; D. M. Lewis, Hesperia 28, 1959, 230; Davies, APF 430. 566 | *Φείδωνα*] v. Kirchner, P. A. 14184 ‖ **8** *Πάμφιλον*] v. Kirchner, P. A. 11555 | *Φείδιππον*] v. Kirchner, P. A. 14163 et add. – de tribus filiis Chaerephili v. etiam Davies, APF 566—568 et 430 | *Ἐπιγένην*] v. Kirchner, P. A. 4782 | *Κόνωνα*] v. Kirchner, P. A. 8700; Davies, APF 430 ‖ **10** *Παιρισάδην*] v. E. Diehl, RE XVIII 2, 1942, 2417—2424 | *Σάτυρον*] v. Fluss, RE II A 1, 1921, 226 nr. 5 | *Γόργιππον*] v. Tod, GHI 2, 208 ‖ **10—11** *ἐκ τοῦ Πόντου τυράννους*] v. R. Werner, Die Dynastie der Spartokiden, Historia 4, 1955, 412—444 (praecipue 439) ‖ **13** *Ταυροσθένην*] v. Kirchner, P. A. 13435

2 ... *εσκεύαζε* A^{pr} corr. A^1 ‖ **3** *ἐπώλει*] *ἐποίει* Richards ‖ **5** *Διφίλῳ* Ald.: *διιφίλῳ* | *πρυταν.ῳ* N^{pr} corr. N^1 ‖ **6** *ἀνατεθησομένην* Rei.: *ἀναθησομένην* codd.: *σταθησομένην* Naber ‖ **7** *ὑμετέρους* Bl. cl. p. 28, 5; Demosth. 20, 133: *ὑμᾶς* codd. (*ποιήσασθαι πολίτας ὑμᾶς* Wurm): *ποιῆσαι πολίτας ὑμῖν* Weidner ‖ **8** *Φείδιππον* Bergk cl. Athen. 9, 407 e: *φίλιππον* | *ἢ πάλιν* **NA**: *καὶ πάλιν* apogr. ‖ **10** *Παιρισάδην* Thalh. ex titulis, cf. e. gr. IG $2/3^2$, 212: *βιρισάδην* codd.: *Βηρισάδην* Ald., cf. IG $2/3^2$, 126 | *σάτ.ρον* N^{pr} corr. N^1 | *ἐκ τοῦ Πόντου* Bait. (de articulo cf. Lys. 16, 4 Thalh.): *ἐκ τούτων* codd.: *ἐχθίστους* Ald. ‖ **11** *μέδιμνοι* Gibbon: *μόδιοι* codd.: del. Maetz. ‖ **12** *ὅπῃ* **A** (vid. Wyse, CR 18, 1904, 116), sed cf. Aeschin. 3, 209 ‖ **13** *εἶναι*] *εἰδέναι* Bk. | *γράψαι* del. Rei. ‖ **14** *τὸν* add. Bait. | *αὑτοῦ* Bk.: *αὐτοῦ* **NA**: *αὐτῷ* vulg.

τῆς δ' Εὐβοίας ὅλης μετὰ τοῦ ἀδελφοῦ Καλλίου προδότην
Φιλίππῳ γεγενημένον; ὃν οὐκ ἐῶσιν οἱ νόμοι τῆς Ἀθη-
ναίων χώρας ἐπιβαίνειν, εἰ δὲ μή, τοῖς αὐτοῖς ἔνοχον εἶναι
κελεύουσιν, οἷσπερ ἄν τις τῶν φευγόντων ἐξ Ἀρείου πάγου
κατίῃ. καὶ τοῦτον οὗτος ὁ δημοτικὸς ὑμέτερον ἔγραψε πο- 5
45 λίτην εἶναι. περὶ τούτων οὖν μάρτυρας ὑμῖν δεῖ καλεῖν,
ἢ περὶ τῶν ἄλλων ὅσους οὗτος γέγραφε προξένους εἶναι
p. 96 καὶ Ἀθηναίους; ⟨εἶτα⟩, πρὸς τῆς | Ἀθηνᾶς, οἴεσθ' αὐτὸν
ἀργύριον μὲν χαίρειν λαμβάνοντα, χρυσίου δ' εἴκοσι τά-
λαντ' οὐκ ἂν λαβεῖν; ἢ κατὰ μικρὸν μὲν δωροδοκεῖν, ἀθ- 10
ρόον δ' οὐκ ἂν προσδέξασθαι τοσοῦτον λῆμμα; ἢ τὴν ἐξ
Ἀρείου πάγου βουλὴν ⟨διὰ⟩ Δημοσθένην καὶ Δημάδην καὶ
Κηφισοφῶντα ζητήσασαν ἓξ μῆνας ἀδίκως εἰς ὑμᾶς πε-
ποιῆσθαι τὰς ἀποφάσεις;

46 Πολλοὶ ὦ ἄνδρες, πολλοὶ τῶν πολιτῶν καὶ τῶν ἄλλων 15
Ἑλλήνων, ὅπερ καὶ πρότερον εἶπον, θεωροῦσιν ὑμᾶς πῶς
τοῦτον δικάσετε τὸν ἀγῶνα, καὶ πότερον εἰσαγωγίμους
καὶ τὰς τῶν ἄλλων δωροδοκίας ποιήσετε, ἢ ἀνέδην ἐξέσται
δῶρα λαμβάνειν καθ' ὑμῶν, καὶ τὰ πρότερον δοκοῦντα
πιστὰ καὶ βέβαι' εἶναι νῦν ἄπιστα διὰ τὴν Δημοσθένους 20
κρίσιν γενήσεται, ὃν ἐκ τῶν ἄλλων προσῆκεν ἀπολωλέναι
τῶν πεπολιτευμένων αὐτῷ, ὃς ἁπάσαις ταῖς ἀραῖς ταῖς ἐν
47 τῇ πόλει γ[ιγ]νομέναις ἔνοχος καθέστηκεν, ἐπιωρκηκὼς
μὲν τὰς σεμνὰς θεὰς ἐν Ἀρείῳ πάγῳ καὶ τοὺς ἄλλους θεοὺς
οὓς ἐκεῖ διόμνυσθαι νόμιμόν ἐστι, κατάρατος δὲ καθ' 25

1 *Καλλίου*] v. Swoboda, RE X 2, 1919, 1624—1626 ‖ **4** *ἐξ Ἀρείου πάγου* „secundum senatus iudicium" Marchant CR 3, 1889, 437 ‖ **13** *Κηφισοφῶντα*] v. Kirchner, P. A. 8417; Kroll, RE XI 1, 1921, 240, nr. 4; Davies, APF 149 | *ζητήσασαν ἓξ μῆνας*] cf. Hyper. 1, 31, 11—14

5 *κατίοι* A ‖ **8** *εἶτα* add. Gebauer (p. 83): *ἆρ' οὖν* pridem addiderat Bl. ‖ **11** *τοσοῦτον* A^2: *τοῦτον* N A^{pr} ‖ **12** *διὰ* add. Bl. ‖ **13** *ἀδίκους* Naber fort. recte ‖ **15** *καὶ τῶν πολιτῶν* mal. Bl. ‖ **17** *πρότερον* A^{pr} (ras. corr.) ‖ **18** *τὰς κατὰ τῶν* N | *ἀναίδην* N ‖ **21** *ὧν* N^{pr} A^{pr} (ras. corr.) ‖ **23** *γιγνομέναις* (*γινο-* iam Bk.) Bl.: *γενομέναις* | *ἔνοχος*] .... *ος* A^{pr} corr. A^1 | *ἐπιωρκηκὼς* N^2 A^2: *-ορκικὼς* N^{pr} (*ἐπιωρ-* N^1): *ἐπιορκηκὼς* A^{pr} ‖ **24** *τοὺς* A^{1s}

ἑκάστην ἐκκλησίαν γ⌈ιγ⌉νόμενος, ἐξεληλεγμένος ⟨μὲν⟩
δῶρα κατὰ τῆς πόλεως εἰληφώς, ἐξηπατηκὼς δὲ καὶ τὸν
δῆμον καὶ τὴν βουλὴν παρὰ τὴν ἀράν, {καὶ} ἕτερα μὲν λέ-
γων ἕτερα δὲ φρονῶν, ἰδίᾳ δὲ συμβεβουλευκὼς Ἀριστάρχῳ
5 δεινὰς καὶ παρανόμους συμβουλάς· ἀνθ' ὧν — εἴπερ ἔστι
που δικαία τιμωρία κατὰ τῶν ἐπιόρκων καὶ πονηρῶν,
ὥσπερ ἔστι — δώσει δίκην οὗτος ἐν τῇ τήμερον ἡμέρᾳ.
ἀκούσατ' ἄνδρες δικασταὶ τῆς ἀρᾶς.

ΑΡΑ

10 Ἀλλ' ὅμως ἄνδρες δικασταὶ οὕτω Δημοσθένης τῷ ψεύ- 48
δεσθαι καὶ μηδὲν ὑγιὲς λέγειν ἑτοίμως χρῆται, καὶ οὔτ'
αἰσχύνης οὔτ' ἐλέγχου οὔτ' ἀρᾶς οὐδὲν αὐτῷ μέλει, ὥστε
καὶ περὶ ἐμοῦ τολμήσει λέγειν, ὡς ἀκούω, ὡς ἄρα κἀμοῦ
κατέγνω πρότερον ἡ βουλή, καὶ ποιῶ πάντων ἀτοπώτα-
15 τον, ὡς οὗτός φησι, πρότερον μὲν ἐναντίον τῇ τῆς βουλῆς
ἀποφάσει ἀγῶν' ἀπολογούμενος ὑπὲρ ἐμαυτοῦ, νυνὶ δὲ
συνηγορῶν αὐτῇ, κατηγορῶν τούτου, περὶ τῆς γεγενη-
μένης ἀποφάσεως· πρᾶγμα κατασκευάζων οὐ γεγενημέ-
νον, ἀλλὰ ψεύδεσθαι πρὸς ⌈ὑμᾶς⌉ τολμῶν. ἵν' οὖν, ἐὰν ἐπὶ 49
20 τοῦτον ἴῃ τὸν λόγον, μὴ ἐπιτρέπητ' αὐτῷ, ἀλλ' εἰδῆτ'
ἀκριβῶς ὅτι οὔτε μ' ἀπέφηνεν ἡ βουλὴ οὔτ' ἐμέλλησεν,
ἠδικήθην δ' ὑφ' ἑνὸς ἀνθρώπου πονηροῦ καὶ δίκην δεδω-
κότος παρ' ὑμῖν, ἀκούσατέ μου βραχέα· ἔπειτ' ἐπὶ τοῦτον
πάλιν βαδιοῦμαι.
25 Ἀνάγκη τὴν βουλὴν ὦ ἄνδρες τὴν ἐξ Ἀρείου πάγου κατὰ 50

8 τῆς ἀρᾶς] cf. p. 60, 19 s.; etiam Aristoph. Thesm. 331—351; Demosth. 18, 282; 19, 70—71. 201; 23, 97; Lycurg. 31 etc.

1 γιγνόμενος (γινό- A[1]) Bl.: γενόμενος N A[pr] | ⟨μὲν⟩ Bl. dubit. ‖ **2** καὶ A[1s] ‖ **3** καὶ secl. Thalh.: frustra def. Bl. cl. Demosth. 18, 282 ‖ **5** δεινὰς] ἰδ..ας h. e. ἰδίας? A[pr] corr. A[1] ‖ **8** ὦ ἄ. δικ. N | τῆς ἀρᾶς N A: τὰς ἀρὰς apogr. ‖ **11** χρη..... N[pr] corr. N[1] ‖ **12** ἐλέγχου. N[pr] (ras. corr.) | μέλλει A[pr] (ras. corr.) ‖ **13** τολμῆσαι vulg. ante Bk. ‖ **19** πρὸς ὑμᾶς Turr.: πρός τινας ‖ **20** ἐπιτρέποιτε A ‖ **21** ἐμέλησεν N A ‖ **23** βραχεῖα A[pr] (ras. corr.)

δύο τρόπους ποιεῖσθαι τὰς ἀποφάσεις πάσας. τίνας τούτους; ἤτοι αὐτὴν προελομένην, ⌈ἢ⌉ ζητήσασαν {ἢ} τοῦ δήμου προστάξαντος αὐτῇ. χωρὶς τούτων οὐκ ἔστιν ὅντιν' ⌈ἂν⌉ τρόπον ποιήσειεν. εἰ μὲν τοίνυν φῇς ὦ μιαρὸν σὺ θηρίον, τοῦ δήμου προστάξαντος ζητήσασαν τὴν βουλὴν 5

51 *περὶ ἐμοῦ ποιήσασθαι τὴν ἀπόφασιν, δεῖξον τὸ ψήφισμα καὶ τίνες ἐγένοντό μου κατήγοροι γενομένης τῆς ἀποφάσεως, ὥσπερ νῦν ἀμφότερα γέγονε, καὶ ψήφισμα καθ' ὃ ἐζήτησεν ἡ βουλή, καὶ κατήγοροι χειροτονήσαντος τοῦ δήμου, παρ' ὧν νῦν οἱ δικασταὶ τἀδικήματα πυνθάνονται.* 10 *κἂν ᾖ ταῦτ' ἀληθῆ, ἀποθνῄσκειν ἕτοιμός εἰμι. εἰ δ' αὐτὴν προελομένην ἀποφῆναί με φῄς, παράσχου μάρτυρας τοὺς Ἀρεοπαγίτας, ὥσπερ ἐγὼ παρέξομαι ὅτι οὐκ ἀπεφάνθην.*

52 *καταψευσάμενον μέντοι κἀμοῦ καὶ τῆς βουλῆς ὥσπερ σὺ καὶ πονηρὸν καὶ προδότην ⌈ὄντ'⌉ εἰσαγγείλας καὶ ἐξελέγ-* 15 *ξας ἐν πεντακοσίοις καὶ δισχιλίοις τῶν πολιτῶν ὅτι μισθώσας αὐτὸν Πυθοκλεῖ κατ' ἐμοῦ ταῦτ' ἔπραξεν, ἐτιμωρησάμην μετὰ τῶν τότε δικασάντων. λαβέ μοι σὺ τὴν μαρτυρίαν, ἣν καὶ πρότερον παρεσχόμην μαρτυρουμένην τοῖς δικασταῖς καὶ οὐδεὶς ἐπεσκήψαθ' ὡς ψευδεῖ οὔσῃ, ἣν καὶ* 20 *νῦν παρέξομαι. λέγε τὴν μαρτυρίαν.*

ΜΑΡΤΥΡΙΑ

8 s. cf. p. 42, 8 s. 56, 19 et Hyper. 1, 38 ‖ 9 *κατήγοροι* ...] cf. p. 56, 21 ‖ 16 *ἐν πενταϰ. καὶ δισχ. τῶν πολιτῶν*] v. Jacoby (FGrHist III b Suppl. p. 565) qui textum corruptum putat ‖ 17 *Πυθοκλεῖ*] v. Kirchner, P. A. 12444; cf. Davies, APF 486

2 *ἢ ζητήσ. τοῦ δήμου* Kleyn: *καὶ ζητήσ., ἢ τοῦ δήμου* ‖ 3.4 *ὅντιν' ἂν* Turr.: *ὅντινα* codd.: *ὅντινα τρ. ποιήσαιτ' ἂν* Bk. (Add.) ‖ 11 *ἀληθῆ* secl. Thalh. ‖ 13 *ἀπεφάνθην* NA: *ἐφάνθην* apogr. ‖ 14 lac. ante *ὥσπερ* indic. Bl. ed.^{1} Thalh.; *μιαρὸν* addi iusserat Rei.: ⟨*Πιστίαν μιαρὸν*⟩ Thalh. ‖ 15 *καὶ*^{2} om. A | *ὄντ'* Franke: *ὂν* NA^{pr} (erasum in A): *ἕν'* Bl. ‖ 16 *δ.σχιλίοις* A^{pr} corr. A^{1} ‖ 17 *τιμοκλεῖ* A ‖ 18 *τῶν τότε* in ras. A^{1} | *μοι* A^{1s} ‖ 20 *ἐπ.σκήψατο* N^{pr} corr. N^{1} | *ψευδῆ* N | *ἣν* del. mal. Rei.

Εἶτ' οὐ δεινὸν ὦ Ἀθηναῖοι, εἰ ὅτι μὲν εἷς ἀνὴρ ἔφησε 53
Πιστίας Ἀρεοπαγίτης ὢν ἀδικεῖν με, καταψευδόμενος
κἀμοῦ | καὶ τῆς βουλῆς, ἴσχυσεν ἂν τὸ ψεῦδος τῆς ἀλη- p. 97
θείας μᾶλλον, [εἰ] διὰ τὴν ἀσθένειαν τὴν τότε καὶ τὴν
5 ἐρημίαν τὴν ἐμὴν ἐπιστεύθησαν αἱ κατ' ἐμοῦ ψευδεῖς
γ[ε]νόμεναι κατασκευαί· ἐπειδὴ δὲ τἀληθὲς παρὰ πάσης
τῆς ἐξ Ἀρείου πάγου βουλῆς ὁμολογεῖται, Δημοσθένην
εἰληφέναι εἴκοσι τάλαντα χρυσίου καθ' ὑμῶν καὶ ταῦτα
πεποιηκότ' ἀδικεῖν, καὶ ὁ δημαγωγὸς ὑμῖν, ἐν ᾧ τὰς ἐλπί-
10 δας ἔχουσί τινες, ἐπ' αὐτοφώρῳ χρήματα λαμβάνων εἴλη- 54
πται, νῦν τὰ νόμιμα τἀκεῖθεν καὶ τὰ δίκαια καὶ τἀληθῆ
ἀσθενέστερα γενήσεται τῶν Δημοσθένους λόγων, καὶ
ἰσχύσει μᾶλλον τῆς ἀληθείας ἡ παρὰ τούτου ῥηθησομένη
κατὰ τοῦ συνεδρίου διαβολή, ὡς ἄρα πολλοὺς ἡ βουλὴ
15 ἀποπέφαγκεν ἀδικεῖν τὸν δῆμον, οἳ ἀποπεφεύγασιν εἰσελ-
θόντες εἰς τὸ δικαστήριον, καὶ {ἡ βουλὴ} ἐπ' ἐνίων τὸ
πέμπτον μέρος οὐ μετείληφε τῶν ψήφων; τοῦτο δ' ὃν
τρόπον γίγνεται, ῥᾳδίως ἅπαντες μαθήσεσθε. ἡ βουλὴ ὦ 55
ἄνδρες ζητεῖ τὰ προσταχθένθ' ὑφ' ὑμῶν καὶ ⟨ἀποφαίνει⟩
20 τὰ γεγενημένα παρ' αὐτοῖς ἀδικήματα οὐχ ὡς ὑμεῖς —
καί μοι μὴ ὀργισθῆτε — δικάζειν ἐνίοτ' εἴθισθε, τῇ συγ-
γνώμῃ πλέον ἢ τῷ δικαίῳ ἀπονέμοντες, ἀλλ' ἁπλῶς τὸν
ἔνοχον ὄντα τοῖς ζητουμένοις καὶ τὸν ὁποιονοῦν ἠδικηκότα
⟨παρὰ⟩ τὰ πάτρια, νομίζουσα τὸν ἐν τοῖς μικροῖς συν-

1—2 oratio *Κατὰ Πιστίου εἰσαγγελία* fuit inter Dinarcheas (Dion. Dinarch. *Εἰσαγγελία κατὰ Πιστίου* 10, 652). v. infra fr. XV

1 *ὅτε* Markland | *ἔφηνε* mal. Naber ‖ **3** *κἀμοῦ* A²: *κατ' ἐμοῦ* N A^pr ‖ **4** *εἰ* Gebauer (p. 249. 253): *καὶ* ‖ **6** *γενόμεναι* Bl. cl. *κατασκευασθέντα* Demosth. 22, 1: *γινόμεναι* ‖ **10** *εἴληπται*] *ἐξελήλεγκται* Naber ‖ **12** *λόγων*; Gebauer (p. 250) ‖ **14** *ἡ βουλὴ* propter hiat. secl. Bl. ‖ **15** *ἀποφεύγασιν* N ‖ **16** *ἡ βουλὴ* secl. Kohm² 95 | *ὑπ' ἐνίων* A^pr (fecit *ἐπ'* A¹ et mut. spiritum A²) ‖ **19** *ἀποφαίνει*, quod post *ζητουμ.* (**23**) add. Wolf, hic posuit Bl. ‖ **20** *αὑτοῖς* Bk.: *αὐτοῖς* ‖ **21** *συγγνώμῃ* N A¹: *γνώμῃ* A^ac ‖ **22** *νέμοντες* Bl. propter hiat. cl. v. l. ap. Demosth. 18, 208 ‖ **23** *ἠδ.κηκότα* N^pr corr. N¹ ‖ **24** *παρὰ* add. Bl. cl. p. 32, 7: *κατὰ* (Rei.) Dobr. („forsan *ἠδικηκότα, κατὰ τὰ πάτρια*, scil. *ζητεῖ*. *quaerit, non ut vos soletis, sed more maiorum*"): ⟨*ἀποφαίνει κατὰ*⟩ *τὰ π.* mal. Maetz.

ἐθιζόμενον ἀδικεῖν, τοῦτον τὰ μεγάλα τῶν ἀδικημάτων
56 *εὐχερέστερον προσδέξεσθαι. διόπερ τὸν παρ' αὐτῶν ἀπο-*
στερήσαντα τὸ ναῦλον τὸν πορθμέα ζημιώσασα πρὸς
ὑμᾶς ἀπέφηνε· πάλιν τὸν τὴν πεντεδραχμίαν ἐπὶ τῷ τοῦ
μὴ παρόντος ὀνόματι λαβεῖν ἀξιώσαντα, καὶ τοῦτον ὑμῖν 5
ἀπέφηνε, καὶ τὸν τὴν μερίδα τὴν ἐξ Ἀρείου πάγου τολμή-
σαντ' ἀποδόσθαι παρὰ τὰ νόμιμα, τὸν αὐτὸν τρόπον
57 *ζημιώσασ' ἐξέβαλε. τούτους ὑμεῖς κρίναντες ἀφήκατε,*
οὐ τῆς ἐξ Ἀρείου πάγου βουλῆς καταγιγνώσκοντες ψεύ-
δεσθαι, ἀλλὰ τῇ συγγνώμῃ μᾶλλον ἢ τῷ δικαίῳ προσθέμε- 10
νοι, καὶ τὴν τιμωρίαν μείζω νομίζοντες εἶναι τῆς ὑπὸ τῶν
κρινομένων γεγενημένης ἁμαρτίας. ἦ που ἄρα ἡ βουλὴ
Δημόσθενες τὰ ψευδῆ ἀπέφηνεν; οὐ δήπου. τούτους μέν-
τοι ὦ ἄνδρες καὶ τοιούτους ἑτέρους ἀδικεῖν παρ' ἑαυτ⌈οῖ⌉ς
58 *ἀποφηνάσης τῆς βουλῆς ὑμεῖς ἀφήκατε. Πολύευκτον δὲ* 15
τὸν Κυδαντίδην τοῦ δήμου προστάξαντος ζητῆσαι τὴν
βουλήν, εἰ συνέρχεται τοῖς φυγάσιν εἰς Μέγαρα, καὶ
ζητήσασαν ἀποφῆναι πρὸς ὑμᾶς, ἀπέφηνεν ἡ βουλὴ συν-
ιέναι. κατηγόρους εἵλεσθε κατὰ τὸν νόμον, εἰσῆλθεν εἰς τὸ
δικαστήριον, ἀπελύσαθ' ὑμεῖς, ὁμολογοῦντος τοῦ Πολυεύκ- 20
του βαδίζειν εἰς Μέγαρ' ὡς τὸν Νικοφάνην· ἔχειν γὰρ
τὴν αὑτοῦ μητέρα τοῦτον. οὐδὲν οὖν ἄτοπον οὐδὲ δεινὸν
ἐφαίνεθ' ὑμῖν ποιεῖν, τῷ τῆς μητρὸς ἀνδρὶ διαλεγόμενος

4—5 *τὸν τὴν πεντεδραχμίαν ἐπὶ τῷ τοῦ μὴ παρόντος ὀνόματι λαβεῖν ἀξιώσαντα, κτέ.*] cf. Hyper. 1, 26, 12ss. *Κόν[ων] μὲν ὁ Παιανιεύς, [ὅτι] ὑπὲρ τοῦ ὑοῦ ἔλαβ[εν] τὸ θεωρικὸν ἀπ[οδη]μοῦντος, πέντ[ε δρα]χμῶν ἕνεκεν κτέ.*; v. Davies, APF 430 ‖ **6** *τὴν μερίδα τὴν ἐξ Ἀρείου πάγου*] cf. F. Dušanek, Programm Chrudim 1895; A. Fischer, Zeitschr. f. d. öst. Gymnasien 48, 1897, 470 ‖ **15—16** *Πολύευκτον δὲ τὸν Κυδαντίδην*] v. Kirchner, P. A. 11947; H. Schaefer, RE XXI 2, 1952, 1616—1623; Kl. Pauly 4, 994 nr. 3 ‖ **17** cf. p. 47, 3

2 *προδέξ.σθαι* A[pr] corr. A[1] | *τὸν παρ'* N[1] (*τ . . παρ'* N[pr]): *τὸν πρῴην* Naber | *ἀποστερήσασα* A[pr] corr. A[1] ‖ **4** *πεντεδρ.* A[1]: *πενταδρ.* NA[pr] ‖ **14** *ἑαυτοῖς* Bl.: *ἑαυτῆς* codd.: *ἑαυτῇ* „in iudicio suo" Rei., cf. p. 31, 20 ‖ **19** *τοὺς νόμους* A ‖ **20** *τοῦ* om. A ‖ **21** *ὡς* {*τὸν*} Graffunder: *ὥς τινα* mal. Thalh. ‖ **23** *π. ὑμῖν* A

*ἠτυχηκότι καὶ συνευπορῶν, καθ' ὅσον δυνατὸς ἦν, ἀπ-
εστερημένῳ τῆς πατρίδος. αὕτη Δημόσθενες τῆς βουλῆς ἡ* 59
*ἀπόφασις οὐκ ἐξηλέγχθη ψευδὴς οὖσα, ἀληθινῆς δ' αὐτῆς
οὔσης ἔδοξε τοῖς δικασταῖς ἀφ⌈εῖ⌉ναι τὸν Πολύευκτον·*
5 *τὸ μὲν γὰρ ἀληθὲς τῇ βουλῇ προσετάχθη ζητεῖν, τὸ δὲ
συγγνώμης ἄξιόν φημι τὸ δικαστήριον ἔκρινε. διὰ τοῦτ'
οὐ πιστευτέον τῇ βουλῇ περὶ τῶν γενομένων ἀποφάσεων,
ἐπειδὴ σὲ καὶ τοὺς μετὰ σοῦ τὸ χρυσίον ἔχοντας ἀποπέφαγ-
κε; δεινὸν μέντ' ἂν εἴη. δεῖξον γὰρ δὴ τοῖς δικασταῖς σὺ* 60
10 *Δημόσθενες νυνί, ὡς τούτων τι τῶν ⌈ἁ⌉μαρτη⌈μά⌉των
ὅμοιόν ἐστι τοῖς σοῖς ἀδικήμασι, καὶ ὡς τὸ δῶρα λαμβά-
νειν κατὰ τῆς πατρίδος συγγνώμης ἐστὶν ἄξιον, ὥστ'
ἀποφύγοις ἂν παρὰ τούτοις εἰκότως. ἀλλ' οἱ νόμοι περὶ
μὲν τῶν ἄλλων ἀδικημάτων τῶν εἰς ἀργυρίου λόγον ἀν-*
15 *ηκόντων διπλῆν τὴν βλάβην ὀφείλειν κελεύουσι, περὶ δὲ
τῶν δωροδοκούντων δύο μόνον τιμήματα πεποιήκασιν,
ἢ θάνατον, ἵνα ταύτης τυχὼν τῆς ζημίας ὁ λαβὼν παρά-
δειγμα γένηται τοῖς ἄλλοις, ἢ δεκαπλοῦν τοῦ ἐξ ἀρχῆς
λήμματος τὸ τίμημα τῶν δώρων, ἵνα μὴ λυσιτελήσῃ*
20 *τοῖς τοῦτο τολμῶσι ποιεῖν.*

| *Ἢ τοῦτο μὲν οὐκ ἐπιχειρήσεις λέγειν, ὅτι δὲ τῶν πρό-* 61 p. 98
*τερ⌈ο⌉ν ἀποφανθέντων ὑπὸ τῆς βουλῆς τοῖς μὲν ἄλλοις
ὡμολογηκέναι συμβέβηκεν ἀξίαν εἶναι τὴν τῆς βουλῆς
ζημίαν, σοὶ δὲ μόνῳ τὰ περὶ αὐτῆς ἠναντιῶσθαι; ἀλλὰ μόνος*

13 *ἀλλ' οἱ νόμοι κτἑ.*] cf. Hyper. 1, 24, 14ss. Arist. *Ἀθ. πολ.* 54, 2; v. Lipsius, A. R. 403—404 ‖ **18** *δεκαπλοῦν* ...] cf. p. 61, 2; Hyper. 1, 24, 17

3 *οὐκ* A[1s] | *ἐξελ.* N | *δ'*] *γὰρ* A[pr] corr. A[1] ‖ **4** *ἀφεῖναι* Bl.: *ἀφιέναι* ‖ **6** *φημι*] *ἢ μὴ* Rei. | *τοῦτ'* ⟨*οὖν*⟩ Hirschig ‖ **7** *γενομ.* A (apogr.), cf. p. 14, 8: *γιν.* N(L) ‖ **8** *τοὺς*] *τοῖς* A[pr] corr. A[2] ‖ **9** *δὴ* om. A ‖ **10** *νυνὶ* NA: *ταννῦν* L[pr]MZ: *τὰ νυνὶ* vulg. | *ἁμαρτημάτων* Saup.: *ἡμαρτηκότων* cf. v. l. Ant. 5, 93 ‖ **11** *καὶ*] *ἢ* mal. Bl. ‖ **15** *ὀφλεῖν* Meier ‖ **16** *πεποιήκασιν*] *τετιμήκασι* A[pr] corr. A[1] ‖ **18** *γένηται* A (*η* A[2] ut vid.): *γίνηται* N ‖ **19** *τῶν δώρων* abesse mal. Saup. cl. p. 61, 2 | *λυσιτελήσῃ* Bl.: *λυσιτελὴς ᾖ* NA[pr] *-λὲς ᾖ* A[1] ‖ **21** *πρότερον* Scal.: *προτέρων* codd.: *πώποτε* mal. Bl. ‖ **22** *ἀποφαθέντων* A[pr] corr. A[1] ‖ **24** *ζημίαν* A[pr]: *ζήτησιν* NA[1], cf. p. 34, 18, alii alia | *τὰ* del. Dobr., sed cf. Thuc. 2, 40, 4

σὺ τῶν πώποτ' ἀποπεφασμένων ἠξίωσας ἑκὼν σεαυτῷ τούτους κριτὰς καὶ ζητητὰς γενέσθαι, καὶ ἔγραψας κατὰ σεαυτοῦ τὸ ψήφισμα, καὶ τὸν δῆμον ἐποιήσω μάρτυρα τῶν ὡμολογημένων, ὁρισάμενος σεαυτῷ ζημίαν εἶναι θάνατον, ἐὰν ἀποφήνῃ ⟨σ'⟩ ἡ βουλὴ τῶν χρημάτων εἰληφότα 5
62 *τι τῶν εἰς τὴν χώραν ὑφ' Ἁρπάλου κομισθέντων. ἀλλὰ μὴν πρότερον ἔγραψας σὺ {ὦ} Δημόσθενες κατὰ πάντων τούτων καὶ τῶν ἄλλων Ἀθηναίων κυρίαν εἶναι τὴν ἐξ Ἀρείου πάγου βουλὴν κολάσαι τὸν παρὰ τοὺς νόμους πλημμελοῦντα, χρωμένην τοῖς πατρ⌈ί⌉οις νόμοις· καὶ παρ-* 10 *έδωκας σὺ καὶ ἐνεχείρισας τὴν πόλιν ἅπασαν ταύτῃ, ἣν αὐτίκα φήσεις ὀλιγαρχικὴν εἶναι· καὶ τεθνᾶσι κατὰ τὸ σὸν ψήφισμα δύο τῶν πολιτῶν, πατὴρ καὶ υἱός, παραδοθέντες*
63 *τῷ ἐπὶ τῷ ὀρύγματι· ἐδέθη τῶν ἀφ' Ἁρμοδίου γεγονότων εἷς κατὰ τὸ σὸν πρόσταγμα· ἐστρέβλωσαν Ἀντιφῶντα καὶ* 15 *ἀπέκτειναν οὗτοι τῇ τῆς βουλῆς ἀποφάσει πεισθέντες· ἐξέβαλες σὺ ⌈Χαρ⌉ῖνον ἐκ τῆς πόλεως ἐπὶ προδοσίᾳ κατὰ τὰς τῆς βουλῆς ἀποφάσεις καὶ τιμωρίας. κατὰ δὲ σαυτοῦ καὶ ταῦτα γράψας αὐτὸς τὸ ψήφισμ' ἀκυροῖς; καὶ ποῦ ταῦτα δίκαι' ἢ νόμιμ' ἐστί;* 20

64 *Μαρτύρομαι τὰς σεμνὰς θεὰς ἄνδρες Ἀθηναῖοι, καὶ τὸν τόπον ὃν ἐκεῖναι κατέχουσι, καὶ τοὺς ἥρωας τοὺς ἐγχωρίους, καὶ τὴν Ἀθηνᾶν τὴν Πολι⌈ά⌉δα, καὶ τοὺς ἄλλους*

2–3 *ἔγραψας κατὰ σεαυτοῦ τὸ ψ.*] cf. p. 42, 14. 43, 19. 65, 12; Hyper. 1, 2, 20 ss. de aetate v. R. Sealey, AJPh 79, 1958, 71–73 ‖ **8** *κυρίαν εἶναι*] cf. p. 42, 15 ‖ **14** *ἀφ' Ἁρμοδίου*] v. Kirchner, P. A. 2232; Davies, APF 477. 478 | *τῶν ἀφ' Ἁρμοδ. γεγον. εἷς* i. e. *Πρόξενος*] v. Kirchner, P. A. 12270; Davies, APF 478 ‖ **15** *Ἀντιφῶντα*] v. Kirchner, P. A. 1281 ‖ **17** *Χαρῖνον*] v. Kirchner, P. A. 15437

4 *τὴν ζημίαν* Wurm cl. p. 14, 12. 52, 3 ‖ **5** ⟨*σ'*⟩ h. l. Bl., *σέ* post *εἰληφότα* Maetz. ‖ **5. 6** *εἰληφότι τῶν* N[pr] corr. N[2] ‖ **7** *ὦ* secl. Bl. cl. p. 33, 10. 36, 13. 42, 14 ‖ **10** *πατρίοις* Wolf: *πατρῴοις* cf. p. 13, 4. 31, 24 ‖ **11** *ἐνεχείρησας* NA[pr] (ras. corr.) ‖ **12** *σὸν* N[1s] ‖ **17** *Χαρῖνον* Rohdewald (progr. Burgsteinfurt 1878, p. 17 ex Demosth. 58, 37): *ἀρχῖνον* codd.: *Ἀναξῖνον* susp. Droysen (Üb. die Ächtheit der Urk. in Demosth. Rede vom Kranz, Berlin 1839, 129) ‖ **18** *τὰς* N[1s] ‖ **23** *Πολιάδα* Wolf: *πολίτιδα*

θεοὺς οἳ τὴν πόλιν καὶ τὴν χώραν ἡμῶν εἰλήχασιν, ὅτι τοῦ
δήμου παραδεδωκότος ὑμῖν τιμωρήσασθαι τὸν εἰληφότα
τι τῶν κατὰ τῆς πατρίδος ⟨...⟩, τὸν λελυμασμένον καὶ
ἐφθαρκότα τὴν τῆς πόλεως εὐδαιμονίαν, τὸν περικεχα-
5 *ρακωμένην π[ρο]δεδωκότα τὴν πατρίδα ταῖς αὑτοῦ συμ-*
βουλίαις, ὃν οἱ μὲν ἐχθροὶ καὶ κακόνοι τ[ῇ] πόλε[ι] ζῆν 65
ἂν βούλοιντο, συμφορὰν ἡγούμενοι τῆς πόλεως εἶναι, ὅσοι
δ' εὖνοι τοῖς ὑμετέροις πράγμασι, καὶ μεταπεσούσης τῆς
τύχης ἐλπίζουσιν ἐπὶ τὸ βέλτιον ἂν τὰ τῆς πόλεως πράγ-
10 *ματ' ἐλθεῖν, τὴν ἀξίαν δόντα δίκην τῶν πεπραγμένων*
ἀπολωλέναι βούλονται, καὶ ταῦτ' εὔχονται τοῖς θεοῖς. οὓς
κἀγὼ συμπαρακαλῶ σῶσαι τὴν πατρίδα, κινδυνεύουσαν
ὁρῶν ὑπὲρ σωτηρίας, ὑπὲρ παίδων, ὑπὲρ γυναικῶν, ὑπὲρ
δόξης, ὑπὲρ τῶν ἄλλων ἀγαθῶν ἁπάντων. τί γὰρ ἐροῦμεν 66
15 *ὦ Ἀθηναῖοι πρὸς τοὺς περιεστηκότας ἐξελθόντες ἐκ τοῦ*
δικαστηρίου, ἐάν, ὃ μὴ γένοιτο, παρακρουσθῆθ' ὑπὸ τῆς
τούτου γοητείας; τίσιν ὀφθαλμοῖς ἕκαστος ὑμῶν τὴν
πατρῴαν ἑστίαν οἴκαδ' ἀπελθὼν ἰδεῖν τολμήσ[ει], ἀπο-
λελυκότες μὲν τὸν προδότην τὸν πρῶτον εἰς τὸν ἴδιον
20 *οἶκον εἰσενεγκάμενον τὸ δεδωροδοκημένον χρυσίον, κατ-*
εγνωκότες δὲ μηδὲν ἀληθὲς [μήτε] ζητεῖν μήθ' εὑρίσκειν
τὸ σεμνότατον παρὰ πᾶσιν ἀνθρώποις εἶναι νομιζόμενον

4.5 *περικεχαρακωμένην...ταῖς αὑτοῦ συμβουλίαις*] cf. Demosth. 18, 299

1 *τὴν χώραν καὶ τὴν πόλιν* **A** | *ὅτι* del. Saup. Maetz., qui iungit *παραδ. τιμωρ.* cl. p. 48, 9. 59, 16. 62, 12. 69, 6 ‖ **2** *τιμωρήσασθαι* **A**: *τιμωρήσ.τε* $\mathbf{N}^{pr}$ *-σατε* $\mathbf{N}^{2}$: *οὐκ ἐτιμωρήσασθε* Ald.: *τιμωρήσασθε* mal. Saup. ‖ **3** *τι τῶν κατὰ* **NA**: *τι κατὰ* apogr.: fort. *τι τῶν κομισθέντων χρημάτων* cl. p. 37, 1 Bl.: malim *τι τῶν κατὰ τῆς πατρ.* ⟨*κομισθέντων χρημάτων*⟩ (⟨*χρημάτων*⟩ tantum Thalh.) ‖ **5** *προδεδωκότα* Schmidt: *παραδ.* $\mathbf{NA}^{1}$ mg. ‖ **6** *ὃν* secl. Thalh. | *τῇ πόλει* Kleyn: *τῆς πόλεως* | *ζῆν*] *ζητεῖν* $\mathbf{A}^{pr}$ (ras. corr.): *ζ . .* $\mathbf{N}^{pr}$ corr. $\mathbf{N}^{2}$ ‖ **8** *ἡμετέροις* **N** ‖ **10** *δίκην δόντα* **A** ‖ **16** *γένηται* $\mathbf{A}^{pr}$ corr. $\mathbf{A}^{1}$ ‖ **18** *ἐπανελθὼν* Kleyn | *τολμήσει* auct. Bk. Turr.: *τολμήσειε* **N** (h. e. *τολμήσετε*? cf. p. 51, 19) *τολμήσειεν* **A** ‖ **19** *τὸν πρῶτον τὸν* $\mathbf{NA}^{pr}$ (ras. corr.): *τῶν πατρῴων θεῶν* Wachendorf: *τὸν* {*πρῶτον*} Bl. ‖ **20** *οἶκον* om. apogr. | *δεδωροκημένον* **NA** ‖ **21** *μήτε* Bk.: *μὴ δὲ* **NA** | *μηδ' εὑρ.* $\mathbf{N}^{pr}$ corr. $\mathbf{N}^{2}$ ‖ **22** *τὸ*] *τὸ.* $\mathbf{N}^{pr}$ (ras. corr.) | *τὸ παρὰ π. ἀ. εἶναι σεμν.* **A**

67 *συνέδριον; τίνας δ' ὦ Ἀθηναῖοι — σκοπεῖτε γὰρ πρὸς ὑμᾶς αὐτούς — τίνας τὰς ἐλπίδας ἕξομεν, ἐὰν κίνδυνός τις καταλάβῃ τὴν πόλιν, τὸ μὲν δῶρα λαμβάνειν κατὰ τῆς πατρίδος ἀσφαλὲς εἶναι πεποιηκότες, τὸ δὲ τὴν φυλακὴν ἔχον συνέδριον τῆς πόλεως ἐν τοῖς τοιούτοις κινδύνοις* 5
68 *ἀδόκιμον καταστήσαντες; τί δ' ⌈ἐάν⌉ — τιθῶμεν γὰρ ταῦτα — ἐὰν κατὰ τὸ ψήφισμα τὸ Δημοσθένους ἀπαιτῇ πέμψας ἡμᾶς Ἀλέξανδρος τὸ χρυσίον τὸ κομισθὲν εἰς τὴν χώραν ὑφ' Ἁρπάλου, καὶ πρὸς τῷ γεγενῆσθαι τὴν τῆς βουλῆς ἀπόφασιν τοὺς παῖδας καταπέμψῃ πρὸς ἡμᾶς τοὺς* 10 *νῦν ὡς ἑαυτὸν ἀνακεκομισμένους, καὶ τούτων ἀξιοῖ πυνθάνεσθαι τὴν ἀλήθειαν ⌈ἡ⌉μᾶς, πρὸς θεῶν ὦ ἄνδρες τί*
69 *ἐροῦμεν; γρά⌈ψ⌉εις σὺ Δημόσθενες πολεμεῖν ἡμᾶς, ἐπειδὴ*
p. 99 *καὶ τοὺς πρότερον πολέμους καλῶς | διῴκησας; καὶ πότερόν ἐστι δικαιότερον, ἂν ταῦτα δόξῃ καὶ τοῖς ἄλλοις* 15 *Ἀθηναίοις, εἰς τὸν πόλεμον ὑπάρχειν μετὰ τῶν ἄλλων καὶ τὸ παρὰ σοῦ χρυσίον, ἢ τοὺς μὲν ἄλλους ἀπὸ τῶν ἰδίων κτημάτων ἕκαστον εἰσφέρειν καὶ καταχωνεύειν τὸν ἴδιον κόσμον τῶν γυναικῶν καὶ τὰ ἐκπώματα καὶ πάντα τὰ ἐν τῇ χώρᾳ ἀναθήματα τῶν θεῶν, ὥσπερ ἔφησθα σὺ γρά-* 20 *⌈ψ⌉ειν, αὐτὸς εἰσενεγκὼν πεντήκοντα δραχμὰς ἀπὸ τῆς οἰκίας τῆς ἐν Πειραιεῖ καὶ τῆς ἐν ἄστει; τοσοῦτον γὰρ κατὰ τὴν προτέραν εἰσφορὰν εἰσενηνοχὼς εἴκοσι τάλαντ'*
70 *ἔχεις. ἢ πολεμεῖν μὲν οὐ γράψεις, ἀποδιδόναι δὲ κατὰ τὸ γεγραμμένον ὑπὸ σοῦ ψήφισμα κελεύ⟨σ⟩εις Ἀλεξάνδρῳ* 25

6ss. cf. p. 44, 23ss. et v. FGrHist IIIb (Notes) p. 435 n. 9 ‖ **21** *εἰσ. πεντ. δρ.*] v. Davies, APF 138 ‖ **21—22** *τῆς οἰκίας τῆς ἐν Πειραιεῖ*] cf. Aeschin. 3, 209; Hyper. c. Demosth. 17 Colin: *ἐξ ὧν ναυτικοῖς οὐκ οἰκεῖς ἐ[ν Π]ειραιεῖ, ἀλ⟨λ⟩' ἐξορμεῖς ἐκ τῆς πόλεως*

2 *τὰς ἐλπίδας* NA: *ἐλπίδας* apogr. ‖ **5** *ἔχων* N^pr (*ω* corr. in ras.) ‖ **6** *τί δ' ἐάν — τιθῶμεν* Funkhänel: *τί δαι^ε* (N²) *ἀντιθῶμεν* N^pr: *τί δέ, ἀντιθ.* A: *τί δὲ ἂν τιθῶμεν* vulg. ‖ **7** *δ.ημοσθένους* A^pr (ras. corr.) ‖ **9** *τῷ* NA²: *τὸ* A^pr apogr. ‖ **10** *καταπέμψει* A^pr corr. A² | *ὑμᾶς* N ‖ **12** *ἡμᾶς* Saup.: *ὑμᾶς* ‖ **13** *γράψεις* Steph.: *γράφεις* ‖ **14. 15** *πρότερον* A^pr corr. A¹ ‖ **15** *δικαιότ . . ον* N^pr corr. N¹ | *⟨τούτοις⟩ δόξῃ καὶ* ci. Rei. ‖ **16** *⟨τῶν⟩ τῶν ἄλλων* Boekmeijer ‖ **20** *γράψειν* Steph.: *γράφειν* ‖ **22** *οἰκείας* A^pr (ras. corr.) ‖ **25** *κελεύσεις* Steph.: *κελεύεις*

τὸ κεκομισμένον χρυσίον; οὐκοῦν ὑπὲρ σοῦ τὸν δῆμον ἀποδιδόναι δεήσει. καὶ ποῦ τοῦτ' ἐστὶ δίκαιον ἢ κοινὸν ἢ δημοτικόν, τοὺς μὲν ἐργαζομένους εἰσφέρειν, σὲ δ' ἁρπάζειν καὶ κλέπτειν; καὶ τοὺς μὲν φανερὰν κεκτῆσθαι τὴν
5 οὐσίαν καὶ ἀπὸ ταύτης εἰσφέρειν, σὲ δὲ πλείω ἢ πεντήκοντα καὶ ἑκατὸν τάλαντα τὰ μὲν ἐκ τῶν βασιλικῶν τὰ δ' ἐκ τῶν Ἀλεξάνδρου ⌈χρη⌉μάτων εἰληφέναι, μηδὲν δὲ φανερὸν ἐν τῇ πόλει κεκτῆσθαι, ἀλλὰ διεσκευάσθαι πρὸς τὸν δῆμον, ὡς οὐ πιστεύοντα τοῖς ἑαυτῷ πεπολιτευμένοις;
10 καὶ τοὺς μὲν νόμους προλέγειν τῷ ῥήτορι καὶ τῷ στρατηγῷ, ⟨τῷ⟩ τὴν παρὰ τοῦ δήμου πίστιν ἀξιοῦντι λαμβάνειν, παιδοποιεῖσθαι κατὰ τοὺς νόμους, γῆν ἐντὸς ὅρων κεκτῆσθαι, πάσας τὰς δικαίας πίστεις παρακαταθέμενον, οὕτως ἀξιοῦν προεστάναι τοῦ δήμου· σὲ δὲ τὴν ⟨μὲν⟩ πατρῴαν γῆν
15 πεπρακέναι, τοὺς δ' οὐ γεγενημένους υἱεῖς σαυτῷ προσποιεῖσθαι παρὰ τοὺς νόμους τῶν ἐν ταῖς κρίσεσιν ἕνεκα γιγνομένων ὅρκων, ἐπιτάττειν δὲ τοῖς ἄλλοις στρατεύεσθαι λιπόντ' αὐτὸν τὴν κοινὴν τάξιν; 71

Ὦ Ἀθηναῖοι, παρὰ τί οἴεσθε τὰς πόλεις τοτὲ μὲν εὖ
20 τοτὲ δὲ φαύλως πράττειν; οὐδὲν εὑρήσετ' ἄλλο πλὴν παρὰ τοὺς συμβούλους καὶ τοὺς ἡγεμόνας. ἐπιβλέψατε δ' ἐπὶ τὴν Θηβαίων πόλιν. ἐγένετο πόλις, ἐγένετο μεγίστη· 72

5. 6 cf. p. 15, 4 || 7–8 μηδὲν δὲ φανερὸν ἐν τῇ πόλει κεκτ. κτέ.] cf. Aeschin. 3, 209 || 12 παιδοποιεῖσθαι κατὰ τοὺς νόμους] v. E. Drerup, Demosth. im Urteile des Altertums, Würzburg 1923, 185 n. 2; Harrison, The Law of Athens, 1, 19 n. 1; 2, 205 n. 4 | γῆν ἐντὸς ὅρων κεκτῆσθαι] cf. Arist. Ἀθ. πολ. 4, 2 || 14–15 τὴν μὲν πατρῴαν γῆν πεπρ.] v. Davies, APF 135

3 μὲν ... ἐργαζ. A || 4 καὶ κλέπτειν om. A || 4–5 καὶ τοὺς μὲν . . . εἰσφέρειν om. A add. A¹ in mg. || 5 πλεῖον N: πλεῖν Kleyn: πλείω ⟨μὲν⟩ mal. Bl. || 7 χρημάτων Wolf: πραγμάτων | εἰληφότα vulg. ante Bk. | μηδὲν δὲ N A (B): μηδὲν apogr. || 7. 8 φανερὸν ἐν τ. π. in ras. A¹ (πρὸς τὸν δῆμον fort. Apr) || 9 σαυτῷ Kleyn | πεπολιτευμένοις (eraso ο post ευ) N: πολτιευομένοις A || 11 τῷ add. Rei. || 12 γῆς Apr corr. A¹ || 14 μὲν add. Bl. || 15 γεγεννημένους A² || 16 παρὰ A²: κατὰ N Apr cf. Gebauer 380 | {τῶν ἐν ταῖς κρίσεσιν} ἕνεκα ⟨τῶν⟩ γιγν. Keil || 21 ἐπιβλ. δὲ N: ἐπιβλ. γὰρ A; cf. Gebauer, Lys. 271 || 22 πόλις] πάλαι Richards

⟨πότε⟩ καὶ τίνων τυχοῦσ᾽ ἡγεμόνων καὶ στρατηγῶν;
ἅπαντες ἂν ὁμολογήσαιεν ⟨οἱ⟩ πρεσβύτεροι, παρ᾽ ὧνπερ
73 *κἀγὼ τοὺς λόγους ἀκούων ἐρῶ, ὅτε Πελοπίδας, ὥς φασιν,*
ἡγεῖτο τοῦ ἱεροῦ λόχου καὶ Ἐπαμεινώνδας ἐστρατήγει καὶ
οἱ μετὰ τούτων· τότε τὴν ἐν Λεύκτροις μάχην ἐνίκησεν 5
ἡ τῶν Θηβαίων πόλις, τότ᾽ εἰς τὴν ἀπόρθητον νομιζο-
μένην εἶναι Λακεδαιμονίων χώραν εἰσέβαλον, κατ᾽ ἐκεί-
νους τοὺς χρόνους πολλὰ καὶ καλὰ διεπράξαντ᾽ ἔργα, Μεσ-
⟨σ⟩ήνην τετρακοσιοστῷ ἔτει κατῴκισαν, Ἀρκάδας αὐτο-
74 *νόμους ἐποίησαν, ἔνδοξοι παρὰ πᾶσιν ἦσαν. πότε δ᾽ αὖ* 10
τοὐναντίον ταπεινὰ καὶ τοῦ φρονήματος ἀνάξια διεπρά-
ξαντο; ὅτ᾽ ἐδωροδόκει μὲν λαμβάνων χρήματα παρὰ Φιλ-
ίππου Τιμόλαος ὁ τούτου φίλος, ἐπὶ δὲ τοῖς ξένοις τοῖς
εἰς Ἄμφισ⟨σ⟩αν συλλεγεῖσι Πρόξενος ὁ προδότης ἐγένετο,
ἡγεμὼν δὲ τῆς φάλαγγος κατέστη Θεαγένης, ἄνθρωπος 15
ἀτυχὴς καὶ δωροδόκος ὥσπερ οὗτος. τότε διὰ τρεῖς γ᾽
ἀνθρώπους οὓς εἶπον ἅπασ᾽ ἡ πόλις μετὰ τῶν ἄλλων
Ἑλλήνων ἀπώλετο καὶ συνδιεφθάρη. οὐ γὰρ ψεῦδός ἐστιν
ἀλλὰ καὶ λίαν ἀληθὲς τὸ τοὺς ἡγεμόνας αἰτίους ἁπάντων

5s. cf. Demad. 12 Bl. ‖ **9** *τετρακοσιοστῷ ἔτει*] cf. Isocr. 6, 27 *πλέον διπλάσιον* (sc. *διακόσι᾽ ἔτη*) *χρόνον*; Lycurg. 62 *πεντακοσίοις ἔτεσιν ὕστερον*; Plut. Apophth. Epam. 23; Aelian. v. hist. 13, 42 *δι᾽ ἐτῶν τριάκοντα καὶ διακοσίων*; Paus. 4, 27, 9 *ἑπτὰ καὶ ὀγδοήκοντα καὶ διακοσίοις ἔτεσιν ὕστερον μετὰ Εἴρας ἅλωσιν* ‖ **15** *Θεαγένης*] Harpocr. s. v. *Θεογείτων*, qui laudat h. l. (= *Δείν. ἐν τῷ Κατὰ Δημ.*), formam *Θεογένης* praebet (cf. Phot. Suda *ϑ* 134); v. Maetz. 133; Schaefer, Demosth.[2] 2, 563 n. 5

1 *πότε* ante *ἐγένετο πόλις* add. Steph., ante *καὶ τίνων* Bl.; *πόλις ἐγένετο* del. Dobr.; adversantur Meier (qui del. *καὶ*) et Franke ‖ **2** *ἂν* **NA**(**B**): *γὰρ* apogr. | *οἱ* add. Rei. ‖ **4** *λόχου* **A**[2]: *λόγου* **NA**[pr] | *ἐπαμεινώνδας* (*ει* suprascr.) **A**[1](**BLP**): *-μινώνδας* **NA**[pr](**MZ**) ‖ **6** *τῶν* del. Graffunder ‖ **8** *καὶ* om. **A**[pr] add. **A**[1] | *Μεσήνην* codd. et Ald. sicut ad Lycurg. 62 ‖ **9** *κατώκησαν* **A**[pr] (ras. corr.) ‖ **11** *διεπράξαντο*] *ἔπραξαν* Bl. (cf. **8**) ‖ **12** *λαμβάνων χρήματα* del. Cobet | *παρὰ Φιλ.* **NA**: *παρὰ τοῦ Φιλ.* apogr. cf. p. 21, 19 ‖ **14** *Ἄμφισαν* codd. (Ald.) ‖ **15** *κατέστη* **A**(**B**): *κατεστάθη* **N** ‖ **17. 18** *μετὰ τῶν ἄλλων ἑλλ.* **N**: .. (*ἐκ*?) *τῶν ἑλλήνων* **A**[pr] quod acc. Bl. cl. p. 20, 1 v. Kohm[2] 93—94: *μετὰ τῶν ἑλλ. ἁπάντων* **A**[1] quod mal. Rosbg.: *μετὰ τῶν ἄλλων Ἑλλ. ἁπάντων* Maetz. ‖ **18** *συνδιεφθάρη* **NA**[1]: *διεφθάρη* **A**[pr]

γίγνεσθαι καὶ τῶν ἀγαθῶν καὶ τῶν ἐναντίων τοῖς πολί-
ταις. θεωρήσατε δὴ πάλιν καὶ ἐπὶ τῆς ἡμετέρας πόλεως, 75
τὸν αὐτὸν τρόπον ἐξετάσαντες. ἡ πόλις ἡμῶν ἦν μεγάλη
καὶ ἔνδοξος παρὰ τοῖς Ἕλλησι καὶ τῶν προγόνων ἀξία,
5 *μετά γε τὰς ἀρχαίας ἐκείνας πράξεις, ὅτε Κόνων, ὡς οἱ*
πρεσβύτεροι λέγουσιν, ἐνίκησε τὴν ἐν Κνίδῳ ναυμαχίαν,
ὅτ' Ἰφικράτης ἀνεῖλε τὴν Λακεδαιμονίων μ[ό]ραν, ὅτε
Χαβρίας ἐν Νάξῳ κατεναυμάχησε τὰς Λακεδαιμονίων
τριήρεις, ὅτε Τιμόθεος τὴν ἐν Κερκύρᾳ ναυμαχίαν ἐνί-
10 *κησε. τότ' ὦ Ἀθηναῖοι τότε οἱ μὲν πρότερον ὄντες λαμ-* 76
προὶ διὰ τοὺς ἡγεμόνας Λακεδαιμόνιοι καὶ ὑπὸ τοῖς ἐκεί-
νων ἤθεσι τραφέντες ταπεινοὶ πρὸς τὴν πόλιν ἡμῶν ἧκον,
δεόμενοι τῆς παρὰ τῶν ἡμετέρων προγόνων σωτηρίας, ὁ
δὲ καταλυθεὶς ὑπ' ἐκείνων | δῆμος διὰ τοὺς τότε γενο- p. 100
15 *μένους παρ' [ἡ]μῖν συμβούλους πάλιν ἡγεμὼν ἦν τῶν*
Ἑλλήνων, δικαίως οἶμαι, στρατηγῶν μὲν τοιούτων τετυχη-
κὼς οἵων εἶπον ἀρτίως, συμβούλους δ' ἔχων Ἀρχῖνον καὶ
Κέφαλον τὸν Κολλυτέα. μία γὰρ αὕτη σωτηρία καὶ πό-
λεως καὶ ἔθνους ἐστί, τὸ προστατῶν ἀνδρῶν ἀγαθῶν καὶ
20 *συμβούλων σπουδαίων τυχεῖν. διόπερ ὦ Ἀθηναῖοι δεῖ* 77
ταῦθ' ὑμᾶς ὁρῶντας καὶ λογιζομένους, μὴ μὰ Δία τὸν
πλείω χρόνον τῆς Δημοσθένους δωροδοκίας καὶ ἀτυχίας

7 *Ἰφικράτης*] v. Kirchner, P. A. 7737; Davies, APF 248–252; de casu cf. Xen. H. G. 4, 5, 7–17; Diodor. 14, 91, 2; Paus. 3, 10, 1; Plut. Ages. 22; Harpocr. s.v. *ξενικὸν ἐν Κορίνθῳ*; *Σ* Aristid. Panath. 172, 1 (III 274 Ddf.) ‖ **8** *Χαβρίας*] v. Kirchner, P. A. 15086; Sundwall, Nachtr. 168; Davies, APF 560–561 | *κατεναυμάχησε*] cf. Xen. H. G. 5, 4, 61; Demosth. 20, 77 ‖ **14**ss. cf. Isocr. 7, 65. 9, 56. 68 ‖ **17** *Ἀρχῖνον*] v. Judeich, RE II 1, 1895, 540s.; Kirchner, P. A. 2526 ‖ **18** *Κέφαλον τὸν Κολλυτέα*] v. supra p. 25, 17 ‖ **21–22** *τὸν πλείω χρόνον*] cf. Aristoph. Ran. 160 (Maetz.)

3 ⟨*πότε*⟩ *ἡ πόλις* Markland ‖ **7** *τὴν . . (ἐν ?) λακεδαιμονιμο.* **A**pr corr. **A**[1] | *μόραν* (Wolf) Scal.: *μοῖραν* ‖ **8** *χαυρίας* codd. ‖ **12** *ἧκον* ut vid. **N**pr corr. **N**[2] ‖ **13** *τοῖς παρὰ* **A**pr corr. **A**[2] | *τῶν ἡμετ. προγ.* **N**: *τῶν προγ. ἡμῶν* **A** vulg.: pronomen del. Weidner, cf. p. 68, 15 ‖ **15** *ἡμῖν* Saup.: *ὑμῖν* ‖ **18** *Κολλυτέα* Turr.: *κολυττέα* **N** vulg.: *κοττυλέα* **A(BLP)**: *κοτυλλέα* **(MZ)**

κοινωνεῖν, μηδ' ἐν τούτῳ τὰς ἐλπίδας τῆς σωτηρίας ἔχειν, μηδ' οἴεσθαι ἀπορήσειν ἀνδρῶν ἀγαθῶν καὶ συμβούλων σπουδαίων, ἀλλὰ τὴν τῶν προγόνων λαβόντας ὀργὴν τὸν ἐπ' αὐτοφώρῳ κλέπτην εἰλημμένον καὶ προδότην, τὸν οὐκ ἀπεχόμενον τῶν εἰς τὴν πόλιν ἀφικνουμένων χρημά- 5 *των, τὸν εἰς τὰς δεινοτάτας ἀτυχίας ἐμβεβληκότα τὴν πόλιν, τὸν τῆς Ἑλλάδος ἀλιτήριον ἀποκτείναντας ἐξόριστον ἐκ τῆς πόλεως ποιῆσαι, καὶ μεταβαλέσθαι τὴν τῆς πόλεως τύχην ἐᾶσαι, καὶ προσδοκῆσαι τούτων γενομένων βέλτιον πράξειν.* 10

78 *Ἀκούσατ' ὦ Ἀθηναῖοι κἀκείνου τοῦ ψηφίσματος τοῦ γραφέντος ὑπὸ Δημοσθένους, ὃ τεταραγμένης τῆς πόλεως μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην ἔγραψεν ὁ δημοτικὸς οὗτος, καὶ τῆς μαντείας τῆς ἐλθούσης ἐκ Δωδώνης παρὰ τοῦ Διὸς τοῦ Δωδωναίου· σαφῶς γὰρ ὑμῖν πάλαι προείρηκε* 15 *φυλάττεσθαι τοὺς ἡγεμόνας καὶ τοὺς συμβούλους. λέγε τὴν μαντείαν πρῶτον.*

ΜΑΝΤΕΙΑ

79 *Λέγε δὴ τὸ καλὸν ψήφισμα ⟨τὸ⟩ τούτου.*

ΨΗΦΙΣΜΑ 20

Δημοτικός γ' ὁ διατάττων ἑαυτὸν μέν, ἐπειδὴ ἀνδρεῖος καὶ εὔψυχός ἐστιν, ἐν τοῖς ὅπλοις μένειν, οὓς δ' ἂν οὗτος

7 *τὸν τῆς Ἑλλ. ἀλιτήριον*] ex Aeschin. 3,157 cf. 131 ubi etiam *δεῖ ... ὑπερωρίσθαι* repetitur || 8s. cf. p. 22, 9s. || 14 *τῆς μαντείας*] cf. Demosth. 19, 297s. et v. H. W. Parke, The Oracles of Zeus, Oxford 1967, 139—141

2 „num⟨*προστατῶν*⟩ *ἀνδρῶν*, sicut est p. 39, 19?" Bl. || 3 *λαβόντες* N A[pr] corr. A[1] || 7 *ἀλιτήριον* A[pr] | *ἀποκτείναντας* del. Dobr. | post *ἀποκτείν.* add. *δεῖ* N A[pr] (ras. corr.) Maetz. cf. p. 66 || 8 *ἐκ τῆς πόλ.* del. Kleyn | *μεταβαλέσθαι* A[2]: *-βάλλεσθαι* N A[pr] || 10 *πράξ . .* N[pr] corr. N[1] || 11. 12 *τοῦ γραφ. ὑπὸ Δημ.* del. Kleyn || 12 *ὃ* A (ras. corr.): *ὅτε* N[1] (*ὅτ.* pr.) A[pr] || 13 *ἔγραψαν* A[pr] corr. A[1] || 19 *τὸ τούτου* Rei.: *τούτου*, quod def. Maetz. cf. p. 46, 5 || 21 *διαττάττων* A[pr] corr. A[1] || 22 *οὗτος* N: *αὐτὸς* A: mal. abesse Kohm[2] 93, fort. recte

ἀποδοκιμάσῃ τῶν πολιτῶν, ἐπὶ τὰ ἔργ' ἀπιέναι, καὶ ἐάν τι ἄλλο τούτῳ δόξῃ ἐπιτήδειον εἶναι, τοῦτο ποιεῖν. λέγε τὰ λοιπά.

ΨΗΦΙΣΜΑ

5 *Ἀκούετ' ἄνδρες δικασταί. ἀπιέναι φησὶ {τὸ ψήφισμα}* 80
τὰς [ἠ]ρημένας πρεσβείας. ἐπειδὴ ⟨γὰρ⟩ ἤκουσε μετὰ τὴν μάχην τὴν ἐν Χαιρωνείᾳ Φίλιππον εἰς τὴν χώραν ἡμῶν μέλλειν εἰσβάλλειν, αὐτὸς ἑαυτὸν πρεσβευτὴν κατασκευάσας, ἵν' ἐκ τῆς πόλεως ἀποδραίη, ⟨ᾤχετο⟩ συσκευασάμε-
10 *νος ⟨ἐκ⟩ τῆς διοικήσεως ὀκτὼ τάλαντα, οὐδὲν φροντίσας τῆς τότε παρούσης ἀπορίας, ἡνίχ' οἱ ἄλλοι πάντες ἐκ τῶν ἰδίων ἐπεδίδοσαν εἰς τὴν ὑμετέραν σωτηρίαν. τοιοῦτος* 81
ὑμῖν ὁ σύμβουλος, καὶ δύο ταύτας μόνας ἐν τῷ βίῳ Δημοσθένης πεποίηται ἀποδημίας, μετὰ τὴν μάχην ὅτ' ἀπε-
15 *δίδρασκεν ἐκ τῆς πόλεως, καὶ νῦν εἰς Ὀλυμπίαν, ἐπεὶ Νικάνορι διὰ τῆς ἀρχεθεωρίας ἐντυχεῖν ἐβούλετο. ἄξιόν γε τούτῳ παρακαταθέσθαι τὴν πόλιν καὶ ἐπιτρέψαι κινδυνεύειν μέλλοντας, ὃς ὅτε μὲν ἔδει μάχεσθαι μετὰ τῶν ἄλλων τοῖς πολεμίοις, λιπὼν τὴν τάξιν ᾤχετ' ἀπιὼν*
20 *οἴκαδε, ἐπειδὴ δὲ προσῆκεν οἴκοι κινδυνεύειν μετὰ τῶν ἄλλων, πρεσβευτὴν αὐτὸς αὑτὸν προβαλόμενος ᾤχετ' ἐκ τῆς πόλεως ἀποδράς, ἐπειδὴ δὲ πρεσβεύειν ἔδει περὶ τῆς* 82

13s. cf. p. 15, 25s. ‖ **15** cf. Plut. Demosth. 9, 1; Vit. X orat. 845c ‖ **16** *Νικάνορι*] H. Berve, RE XVII 1, 1936, 267 nr. 4 | *διὰ τῆς ἀρχεθ.*] cf. p. 42, 3s. 50, 10

1 *ἀποδοκιμάσῃ* **A**[1]: *-σει* **N** et fort. **A**[pr] | *τὰ* om. **N** ‖ **4** *ΨΗΦΙΣΜΑ* **N**: *μαρτυρία* **A** ‖ **5** *ὦ ἄ. δικ.* **A**, cf. p. 18, 1 | *τὸ ψήφ.* mal. abesse Bk. ‖ **6** *ἠρημένας* Wolf: *εἰρημ.* | lac. ante *ἐπειδὴ* stat. L. Schmidt; fort. supplendum *οὗτος δ' ᾤχετο ἀπιών* Thalh. | *γὰρ* add. Rei.: *δὲ* Wolf ‖ **8** *κατεσκεύασεν* Hug ‖ **9** *ᾤχετο* hic add. Bl., infra post *τάλαντα* Maetz. | *συγκευασάμενος* **A** ‖ **10** *ἐκ* add. Wurm | *οὐδὲ* **A** ‖ **12** *ἀπεδίδ.* **N** | *ἡμετ.* **N** ‖ **13** fort. *τοιαύτας* Kohm[1] 43 | *μόνας ⟨ἄσμενος⟩* Naber | *ἐν τῷ βίῳ*] fort. *ἑκουσίᾳ* Thalh., del. vult Maetz. qui post *μάχην* dist. ‖ **15** *ἐπεὶ* **A**[1]: *ἐπὶ* **N**: … *ετ.* **A**[pr] ‖ **16** *ἀρχεθεωρίας* et *ἀρχεθεωρὸν* (p. 42, 3) Bl.: *ἀρχιθ.* codd., sed cf. Meisterhans[3] 116, 5 ‖ **17** *ἐπιτρέψειν* **N** ‖ **20** *ἐπεὶ δὲ* **N** ‖ **21** *προβαλλό-* **N A**[pr] (in ras. corr. **A**)

εἰρήνης, οὐκ ἂν ἔφασκεν ἐκ τῆς πόλεως ἐξελθεῖν οὐδὲ τὸν ἕτερον πόδα, ἐπειδὴ δὲ τοὺς φυγάδας Ἀλέξανδρον ἔφασαν κατάγειν καὶ Νικάνωρ εἰς Ὀλυμπίαν ἧκεν, ἀρ-χεθέωρον αὐτὸν ⌈ἐ⌉πέδωκε τῇ βουλῇ. τοιοῦτος οὗτος, ἐν μὲν ταῖς παρατάξεσιν οἰκουρός, ἐν δὲ τοῖς οἴκοι 5 *μένουσι πρεσβευτής, ἐν δὲ τοῖς πρεσβευταῖς δραπέτης ἐστίν.*

Λέγε δὴ ⟨. . . . .⟩ καὶ τὸ περὶ τῆς ζητήσεως τῶν χρημάτων ψήφισμα, ⌈ἃ⌉ ἔγραψε Δημοσθένης τῇ ἐξ Ἀρείου πάγου βουλῇ περὶ αὐτοῦ τε καὶ ὑμῶν, ἵνα 10 *παρ' ἄλληλα θεωρήσαντες εἰδῆτε τὴν Δημοσθένους ἀπόνοιαν.*

ΨΗΦΙΣΜΑ

83 *Ἔγραψας σὺ τοῦτο Δημόσθενες; ἔγραψας· οὐκ ἔστιν ἀντειπεῖν. ἐγένεθ' ἡ βουλὴ κυρία σοῦ προστάξαντος;* 15 *ἐγένετο. τεθνᾶσι τῶν πολιτῶν ἄνδρες; τεθνᾶσι. κύριον ἦν τὸ σὸν ψήφισμα κατ' ἐκείνων; ἀδύνατον ἀντειπεῖν.*

Λέγε δὴ πάλιν ὃ Δημοσθένης κατὰ Δημοσθένους ἔγραψε. προσέχετ' ὦ ἄνδρες.

ΨΗΦΙΣΜΑ 20

2 ss. cf. Hyper. 1, 18, 9 ss.; Diodor. 18, 8, 2 (cf. 17, 109, 1); Curt. Ruf. 10, 2, 4; Iustin. 13, 5, 2; Plut. Mor. 221 a etc. — vide E. Bikerman, La lettre d'Alexandre le Grand aux bannis grecs, REA 42, 1940, 25—35; id., Sur un passage d'Hypéride (Epit. VIII), Athenaeum N. S. 41, 1963, 70—85 ‖ **9** s.: cf. **14**; Hyper. 1, 1, 17—20 ‖ **16** cf. p. 43, 9 s.

1 *εἰρη*... N^{pr} corr. N^{1} ‖ **2** *ἐπεὶ δὲ* N | *φυ.γάδας* A^{pr} (ras. corr.) ‖ **3** *κατα*.... *ιν* A^{pr} corr. A^{1} | *ἀρχιθεωρῶν* N^{pr} *-ρὸν* N^{1} ‖ **4** *αὐ-* NA corr. N^{2}A^{2} | *ἐπέδωκε* Scal.: *ἀπ.* ‖ **5** et **6** vv. *οἰκουρὸς* et *δραπέτης* trp. Saup., sed v. Maetz. comm. ‖ **8** lac. h. l. stat. Maetz. alii, post *ὑμῶν* (**10**) Weil; excidisse *καὶ τὸ περὶ* ... putat Bl., qui olim *καὶ τὰ ψηφίσματα* scr. (cl. p. 49, 14); *τὰ* {*περὶ* ... *χρημάτων*} *ψηφίσματα* Troebst: *τὰ π. ζ.* {*τῶν χρημάτων*} *ψηφίσματα* Thalh. | *τῆς* om. A ‖ **9** *ἃ* Maetz.: *ὃ* ‖ **10** *ὑμῶν* AN^{2} (*ὑ* corr.) ‖ **19** *ὦ* om. N, sed, nisi add. *δικασταί, ὦ* om. non solet, cf. Maetz. ‖ **20** *ΨΗΦΙΣΜΑ* om. apogr.

Ἡ βουλὴ εὕρηκε Δημοσθένην. τί δεῖ πολλῶν λόγων; 84
ἀποπέφαγκεν ὦ Ἀθηναῖοι. τὸ μὲν τοίνυν δίκαιον | *ἦν ὑφ'* p. 101
ἑαυτοῦ κεκριμένον εὐθὺς ἀποθνήσκειν· ἐπειδὴ δ' εἰς τὰς
ὑμετέρας ἥκει χεῖρας, τ[ῶν] ὑπὲρ τοῦ δήμου συνειλεγμέ-
5 *ν[ων] καὶ τ[ῶν] ὀμωμοκότ[ων] πεί[σ]εσθαι τοῖς νόμοις*
καὶ τοῖς τοῦ δήμου ψηφίσμασι, τί ποιήσετε; προήσεσθε
τὴν πρὸς τοὺς θεοὺς εὐσέβειαν καὶ τὰ παρὰ πᾶσιν ἀνθρώ-
ποις δίκαια νομιζόμενα; μὴ ὦ Ἀθηναῖοι, μή· αἰσχρὸν γὰρ 85
καὶ δεινὸν ἑτέρους μὲν ὑπὸ τῶν Δημοσθένους ψηφισμά-
10 *των, οὐδὲν ὄντας τούτου χείρους οὐδὲ τοσαῦτ' ἠδικηκό-*
τας ὅσα περ οὗτος, ἀπολωλέναι, τουτονὶ δὲ καταφρονοῦνθ'
ὑμῶν καὶ τῶν νόμων ἀτιμώρητον ἐν τῇ πόλει περιιέναι,
αὐτὸν ὑφ' ἑαυτοῦ καὶ τῶν ψηφισμάτων ὧν ἔγραψεν ἑαλω-
κότα. [ταὐτὸ] συνέδριον ὦ Ἀθηναῖοι, καὶ ὁ αὐτὸς τόπος,
15 *καὶ ταὐτὰ {τὰ} δίκαια. ὁ αὐτὸς ῥήτωρ ἐκείνοις τ' αἴτιος* 86
ἐγένετο τῶν συμβάντων κακῶν καὶ αὐτῷ τῶν νῦν συμβη-
σομένων. ἐπέτρεψεν {ὁ} αὐτὸς οὗτος ἐν τῷ δήμῳ τῷ συν-
εδρίῳ τούτῳ κρῖναι περὶ αὑτοῦ, μάρτυρας ὑμᾶς πεποιημέ-
νος. ἔθετο συνθήκας μετὰ τοῦ δήμου, γράψας τὸ ψήφισμα

5—6 *πείσεσθαι τοῖς νόμοις καὶ τοῖς τοῦ δήμου ψηφίσμασι*] ad iusiurandum heliasticum pertinere vidit L. Ott, Beiträge zur Kenntnis des griechischen Eides, Leipzig 1896, p. 61; Bonner-Smith, Admin. of Justice 2, 152 ‖ **14** *συνέδριον*] h. e. *ἡ βουλὴ ἡ ἐξ Ἀρείου πάγου* hic et infra p. 44, 8. 50, 23. 53, 16. 67, 8 ‖ **17** *ἐπέτρεψεν*] cf. Hyper. 1, 2, 22. 8, 1

1 *ἡ βουλὴ* om. apogr. | *εὕρηκε* (sc. *χρήματα εἰληφότα*)] *ἥρηκε* Wurm: *κέκρικε* Naber | *δεῖ*] *δ.* (*δὴ*?) N^{pr} corr. N^{1} ‖ **2** *μὲν τοίνυν* A^{2}: *μέντοι νῦν* NA^{pr} ‖ **3** *κατακεκριμένον* Herw. ‖ **4** *ὑμ.* NA^{2}: *ἡμ.* A^{pr} ‖ **4—5** *τῶν ... συνειλεγμένων καὶ τῶν ὀμωμοκότων* Steph. (*συνειλεγμένων* iam Ald.): *τοὺς ... συνειλεγμένους καὶ τοὺς ὀμωμοκότας* ‖ **5** *πείσεσθαι* Bait.: *πείθ.* ‖ **7** *πρὸς τοὺς ἀθ....ους* (*ἀθηναίους*?) *εὐσέβειαν* A^{pr} corr. A^{1} ‖ **12** *περ. ἐν τῇ πόλει* A: *ἐν τῇ πόλει* del. Weidner ‖ **14—15** *ταὐτὸ ... ταὐτὰ* Dobr. (*ταυτὰ* iam Wolf): *τουτὶ τὸ ... ταὐτὰ τὰ* (*ταῦτ' αὐτὰ τὰ* B) codd.: *ταὐτὸν τὸ ... ταὐτὰ τὰ* Cobet ‖ **15** post *δίκαια* lac. stat. Maetz.; *καὶ* addi vol. Rei. | *τ'* om. N ‖ **16** *αὐτῷ* A^{pr} corr. A^{2} ‖ **17** *ὁ* del. Kleyn ‖ **18** *αὑτοῦ* N^{2}A^{2}: *αὐτοῦ* N^{pr}A^{pr} ut vid. ‖ **19** s. *γράψας ... ἑαυτοῦ* secl. Troebst

καθ' ἑαυτοῦ, παρὰ τὴν Μητέρα τῶν θεῶν, ἣ πάντων τῶν
ἐν τοῖς γράμμασι δικαίων φύλαξ τῇ πόλει καθέστηκε. διὸ
καὶ οὐχ ὅσιον ὑμῖν ἐστι ταύτας ἀκύρους ποιεῖν, οὐδὲ τοὺς
θεοὺς ὀμωμοκόσι περὶ ταύτης τῆς κρίσεως ταῖς αὑτῶν
87 τῶν θεῶν πράξεσιν ἐναντίαν τὴν ψῆφον ἐνεγκεῖν. κρίσ⌈εως⌉ 5
Ποσειδῶν ἀποτυχὼν τῆς ὑπὲρ Ἁλιρροθίου πρὸς Ἄρη γενο-
μένης ἐνέμεινεν· ⟨ἐνέμειναν⟩ αὐταὶ αἱ σεμναὶ θεαὶ τῇ πρὸς
Ὀρέστην ἐν τούτῳ τῷ συνεδρίῳ κρίσει γενομένῃ, καὶ τῇ
τούτου ἀληθείᾳ συνοίκους ἑαυτὰς εἰς τὸν λοιπὸν χρόνον
κατέστησαν. ὑμεῖς δὲ τί ποιήσεθ' οἱ πάντων εἶναι φάσ- 10
κοντες εὐσεβέστατοι; τὴν τοῦ συνεδρίου γνώμην ἄκυρον
καταστήσετε τῇ Δημοσθένους ἐπακολουθήσαντες πονηρίᾳ;
88 οὔκ, ἐὰν σωφρονῆτ' ὦ Ἀθηναῖοι· οὐ γὰρ περὶ μικρῶν
οὐδὲ τῶν τυχόντων ἐν τῇ τήμερον ἡμέρᾳ δικάζετε, ἀλλὰ
περὶ σωτηρίας τῆς πόλεως ἁπάσης καὶ πρὸς τούτοις περὶ 15
δωροδοκίας, ἔθους πονηροῦ καὶ πράγματος ἀλυσιτελοῦς
ὑμῖν καὶ πάντας ἀνθρώπους ἀπολωλεκότος. ⟨δ'⟩ εἰ μὲν
καθ' ὅσον ἐστ⌈ὶ⌉ δυνατ⌈ὸν⌉ ἐκβαλεῖτ' ἐκ τῆς πόλεως καὶ
παύσετε τοὺς ῥᾳδίως καθ' ὑμῶν χρήματα λαμβάνοντας,
σωθησόμεθα θεῶν βουλομένων· εἰ δ' ἐπιτρέψετε τοῖς 20
ῥήτορσι πωλεῖν ⌈σφᾶς⌉ αὐτούς, περιόψεσθε τὴν πόλιν ἀνα-
τραπεῖσαν ὑπὸ τούτων.
89 Ἔγραψεν αὐτὸς ἐν τῷ δήμῳ Δημοσθένης, ὡς δηλονότι

1 *παρὰ τὴν Μητέρα τῶν θεῶν*] cf. Lycurg. 66; fr. II 1; Demosth. 19, 129 al.; etiam Wycherley, Test. p. 150—160 ‖ **6** *Ἁλιρροθίου*] v. Apollod. 3, 14, 2; Paus. 1, 28, 5 ‖ **8** *Ὀρέστην*] cf. Aesch. Eum. 443 ss.; Paus. l. l.

1 *τὴν Μητέρα*] *τῇ μητρὶ* Rei.: *τὸ παρὰ τῇ μητρὶ* Dobr. ‖ **2** *τῇ πόλει* A^{1s} ‖ **5** *κρίσεως* Bl.: *κρίσει* ‖ **6** *τῆς ... γενομένης* N A^{pr}: *τοῖς ... γενομένοις* A^{2} apogr.: *τῇ ... γενομένῃ* auct. Bk. Turr. ‖ **7** *ἐνέμειναν* h. l. add. Saup.: infra post *γενομένῃ* Rei. | *αὐταὶ* A^{2}: *αὗται* N A^{pr} ‖ **9** *πιστεύουσαι* post *ἀληθείᾳ* add. Richards ‖ **11** *εὐσεβέστατοι* N: *-βέστεροι* A | *γνώμην* A: *γνῶσιν* N, sed v. Demosth. 24,78 ‖ **12** *κατεστήσατε* A^{pr} corr. A^{2} ‖ **13** *Ἀθ.* N A (B): *ἄνδρες Ἀθ.* ‖ **15** *περὶ σωτηρίας τ. πολ. ἁπ.*] „si conferas quod sequitur *πρὸς τούτοις*, aliqua intercidisse videntur" Bl. ‖ **17** *δ* add. Rei. ‖ **18** *ἐστὶ δυνατὸν* Bl. cl. p. 56, 16: *ἐστὲ* (*ἐστ.* N^{pr} corr. N^{2}) *δυνατοὶ* (hiat.) ‖ **21** *σφᾶς* Herw.: *ὑμᾶς* A: *ἡμᾶς* N

δικαίου τοῦ πράγματος ὄντος, φυλάττειν Ἀλεξάνδρῳ τὰ εἰς τὴν Ἀττικὴν ἀφικόμενα μεθ' Ἁρπάλου χρήματα. οὕτως οὖν ὦ ἄριστ', εἰπέ μοι, φυλάξομεν, ἐὰν σὺ μὲν εἴκοσι τάλαντα λαβὼν ἔχῃς ἰδίᾳ, ἕτερος δὲ πεντεκαίδεκα, Δημά-
5 *δης δ' ἑξακισχιλίους χρυσοῦ στατῆρας, ἕτεροι δ' ὅσα δή ποτ' ἀποπεφασμένοι εἰσί; †τέτταρα† γὰρ τάλαντ' ἐστὶ καὶ ἑξήκοντα ἤδη εὑρημένα, ὧν οἴεσθε τὴν αἰτίαν τούτοι⌈ς δεῖν⌉ ἀναθεῖναι. καὶ πότερα κάλλιόν ἐστι, πρὸς δὲ δι-* 90
καιότερον, ἅπαντ' ἐν τῷ κοινῷ φυλάττεσθαι, ἕως ἄν τι
10 *δίκαιον ὁ δῆμος βουλεύσηται, ἢ τοὺς ῥήτορας καὶ τῶν στρατηγῶν ἐνίους διηρπακότας ἔχειν; ἐγὼ μὲν γὰρ οἶμαι τὸ μὲν ἐν τῷ κοινῷ φυλάττειν παρὰ πάντων ὁμολογούμενον εἶναι δίκαιον, τὸ δὲ τούτους ἔχειν μηδέν' ἂν εἰπεῖν ὡς ἔστι καλῶς ἔχον.*

15 *Πολλοὺς οὗτος ⌈εἴρηκε⌉ καὶ παντοδαποὺς λόγους ὦ ἄν-* 91
δρες, καὶ οὐδεπώποτε τοὺς αὐτούς. ὁρᾷ γὰρ ὑμᾶς τὸν ἅπαντα χρόνον ἐλπίσι κεναῖς καὶ ψευδέσι λόγοις ἐξηπατημένους ὑφ' ἑαυτοῦ, καὶ μέχρι τούτου μνημονεύοντας τὰς ὑποσχέσεις, μέχρι{ς} ἂν ῥηθῶσιν. εἰ μὲν οὖν ἔτι δεῖ τὴν
20 *πόλιν τῆς Δημοσθένους πονηρίας καὶ ἀτυχίας ἀπολαύειν, ἵνα πλείω κακοδαιμονῶμεν — οὐ γὰρ ἔχω τί ἄλλο εἴπω —, στερκτέον ⟨ἂν⟩ εἴη τοῖς συμβαίνουσιν· εἰ ⌈δέ τι⌉ κηδόμεθα* 92

1 cf. Hyper. 1, 9, 3ss. al.; [Plut.] Vitae X orat. p. 846 ab; cf. etiam p. 36, 8. 25 ‖ 1–2 *τὰ ... ἀφικόμενα*] de aetate v. G. Mathieu, RPh 55, 1929, 159–183; FGrHist 328 F 163; E. Badian, JHS 81, 1961, 41–43; H. Bengtson, Gr. Gesch.[4] 356 n. 4; J. A. Goldstein, The Letters of Demosth., 276–281 ‖ 5 *ἑξακισχιλίους χρυσοῦ στατῆρας*] cf. E. Badian, JHS 81, 1961, 35 n. 146; de re cf. p. 50, 14ss.; 60, 2; Hyper. 1, 11. 25

2 *οὕτως*] *πῶς* Cobet ‖ 3 *φυλάξωμεν* N cf. p. 48, 16 ‖ 4 *ἰδία* i. e. *ἰδίᾳ* N Wurm: *ἴδια* A ‖ 6 *τέτταρα* A² vulg.: *τετρακόσια* N A^pr: *διακόσια* Thalh. | *γὰρ* in ras. A¹ ‖ 7. 8 *τούτοις δεῖν* (*δεῖν* post *οἴεσθε* iam Rei.) Bl.: *τουτοισὶν* (*τουτοισὶ* N^pr) ‖ 8 *πρὸς δὲ* ⟨*καὶ*⟩ ci. Rei. ‖ 9 *ἄν τί* (interr.) mal. Rei. ‖ 10 *ἢ* N^pr corr. N² ‖ 15 *εἴρηκε* Dobr.: *ἐρεῖ* ‖ 16 *οὐδέποτε* Wurm ‖ 17 *πάντα* N sed cf. Fuhr, RhM 33, 1878, 572 ‖ 18 *μέχρι τούτου καὶ* N ‖ 19 *μέχρι* Bl.: *μέχρις* ‖ 21 *πλείω* N: *πλέον* A | *κακοδαιμονᾶν* = *ἐξαμαρτάνειν* (Bl.) | *οὐδὲ γὰρ* A, sed cf. Demosth. 19, 220 ‖ 22 *ἂν* add. Bk. | *εἴη* del. Franke | *δέ τι* Bait.: *δ' ἔτι*

τῆς πατρίδος καὶ τοὺς πονηροὺς καὶ δωροδόκους μισοῦμεν
καὶ μετοιωνίσασθαι τὴν τύχην καὶ μεταλλάξασθαι βουλό-
μεθα, οὐ προ[ε]τέον ἐστὶν ὑμᾶς αὐτοὺς ὦ Ἀθηναῖοι ταῖς
p. 102 *τοῦ | μιαροῦ καὶ γόητος τούτου δεήσεσιν, οὐδὲ προσδεκ-*
τέον τοὺς οἴκτους καὶ τοὺς φενακισμοὺς ⟨τοὺς⟩ τούτου· 5
ἱκανὴν γὰρ εἰλήφατε πεῖραν αὐτοῦ καὶ τῶν λόγων καὶ
93 *τῶν ἔργων καὶ τῆς τύχης. τίς οὕτως εὔελπις ὑμῶν ἐστιν ὦ*
Ἀθηναῖοι, τίς οὕτως ἀλόγιστος, τίς τῶν προγεγενημέ-
νων καὶ νῦν ἐνεστηκότων πραγμάτων ἄπειρος, ⟨ὅσ⟩τις
ἐλπίζει τὸν ἐκ τοσαύτης εὐδαιμονίας εἰς τοσαύτην ἀδο- 10
ξίαν καταστήσαντα τὴν πόλιν δι' ἡντιναδήποτ' αἰτίαν ἢ
τύχην — ἐῶ γὰρ τοῦτο — νῦν, ἐπειδὴ πρὸς ταῖς ἄλλαις ἀπο-
ρίαις καὶ τοῖς περιεστηκόσιν ἡμᾶς κινδύνοις καὶ ἡ τῶν ἐξ
αὐτῆς τῆς πόλεως δωροδοκία προσγέγονε, καὶ περὶ αἰσ-
χρᾶς αἰτίας κοινῇ πάντες ἀγωνιζόμεθα καὶ περὶ τοῦ μὴ 15
δοκεῖν τὰ ἰδίᾳ παρά τισιν ὄντα χρήματα κοινῇ τὸν δῆμον
ἔχειν, τηνικαῦτα συμβουλεύοντα καὶ ⟨πολέμους⟩ διοι-
94 *κοῦντα τοῦτον σώσειν ἡμᾶς; ἐῶ γὰρ τἆλλ' ὅσα μεταβαλ-*
λόμενος ἐν τοῖς πράγμασι καὶ δημηγορῶν οὐδὲν ὑγιὲς δια-
τετέλεκε, καὶ τοτὲ μὲν γράφων καὶ ἀπαγορεύων μηδένα 20
νομίζειν ἄλλον θεὸν ἢ τοὺς παραδεδομένους, τοτὲ δὲ λέγων

2 *μετοιωνίσασθαι*] cf. Harpocr. s. v. ‖ **21** s. cf. Hyper. 1, 31, 15 ss. 32, 3 ss.; Tim. ap. Polyb. 12, 12b, 3 al. et v. Ed. Meyer, Kl. Schr., Halle 1910, 330—332; A. D. Nock, Notes on Ruler-Cult, JHS 48, 1928, 21—43 (= Essays on Religion and the Ancient

2 *τὴν* in ras. N^1 | *καὶ μεταλλάξασθαι* del. Kleyn ‖ **3** *προετέον* Wolf: *προσεκτέον* codd.: sive *προετέον* sive servato *προσεκτέον* deleri *αὐτοὺς* Rei. ‖ **4** *προσδεκτέον* **N A**: *προσεκτέον* apogr.: *προσιτέον* Ald.: *προσετέον* Wolf ‖ **5** *τοὺς* add. Turr., ut est p. 53, 7; cf. p. 40, 19; vid. Rehd. Ind. Demosth.[4] II *οὗτος* (p. 114) ‖ **6. 7** *καὶ τῶν ἔ. καὶ τῶν λ.* **A**, cf. p. 50, 2 ‖ **8** *οὗτος* A^{pr} corr. A^1 | *οὕτω* post *τίς*[2] add. Maetz. ‖ **9** *καὶ ⟨τῶν⟩ νῦν* Thalh. dubit. | *⟨οὕτως⟩ ἄπειρος* iam Wolf mal., sed cf. Demosth. 21, 66 | *ὅστις* Ald.: *τίς* ‖ **12** *τοῦτο — νῦν* (i. e. *νῦν* cum *ἐπειδὴ* coniunctum) Gebauer 112 cl. Lys. 24, 8: *τοῦτο νῦν* vulg.: *τοῦτό ⟨γε⟩ νῦν* Wurm ‖ **13** *ὑμᾶς* **A**: *σφᾶς* Herw. ‖ **16** *ἰδία* i. e. *ἰδίᾳ* A^2 Bk.: *ἴδια* **N** A^{pr} ‖ **17** *⟨πολέμους⟩* add. Wurm | *διοικοῦντα* **N A (B)**: *πολεμοῦντα* cett. ‖ **18** *ὑμᾶς* **A** ‖ **19** *τετέλεκε* **A** ‖ **20** *τοτὲ* A^2: *τότε* A^{pr}: *ὁτὲ* **N** ‖ **21** *ἄλλον νομίζειν* **A** | *.ὁτὲ* N^1 *τότὲ* N^2

ὡς οὐ δεῖ τὸν δῆμον ἀμφισβητεῖν τῶν ἐν οὐρανῷ τιμῶν Ἀλεξάνδρῳ, ὅταν δὲ μέλλῃ κριθήσεσθαι παρ' ὑμῖν, Καλλιμέδοντ' εἰσαγγέλλων συνιέναι ἐν Μεγάροις τοῖς φυγάσιν ἐπὶ καταλύσει τοῦ δήμου, καὶ ταύτην τὴν εἰσαγγελίαν
5 *εὐθὺς παραχρῆμ' ἀναιρούμενος, ἐν δὲ τῇ ἐκκλησίᾳ ταύτῃ* 95 *τῇ πρώην γεγενημένῃ προσάγων καὶ κατασκευάζων ψευδῆ μηνυτὴν ὡς ἐπιβουλευομένων τῶν νεωρίων, καὶ περὶ τούτων γράφων μὲν οὐδέν, αἰτίας δ' ἕνεκα τοῦ παρόντος ἀγῶνος παρασκευάζων· τούτων γὰρ ἁπάντων ὑμεῖς τούτῳ*
10 *μάρτυρές ἐστε. γόης οὗτος ἄνδρες Ἀθηναῖοι καὶ μιαρὸς ἄνθρωπός ἐστι, καὶ οὔτε τῷ γένει τῆς πόλεως πολίτης οὔτε τοῖς πεπολιτευμένοις αὐτῷ καὶ πεπραγμένοις. ποῖαι* 96 *γὰρ τριήρεις εἰσὶ κατεσκευασμέναι διὰ τοῦτον, ὥσπερ ἐπ' Εὐβούλου, τῇ πόλει; ἢ ποῖοι νεώσοικοι τούτου πολι-*
15 *τευομένου γεγόνασι; πόθ' οὗτος ἢ διὰ ψηφίσματος ἢ νόμου ἐπηνώρθωσε τὸ ἱππικόν; τίνα κατεσκεύασε δύναμιν, τοιούτων καιρῶν παραγενομένων μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην, ἢ πεζὴν ἢ ναυτικήν; τίς ἀ⟨νε⟩νήνεκται τῇ θεῷ κόσμος εἰς ἀκρόπολιν ὑπὸ τούτου; τί κατεσκεύακεν οἰκο-*
20 *δόμημα Δημοσθένης ἐν τῷ ἐμπορίῳ τῷ ὑμετέρῳ, ἢ ἐν τῷ*

World ed. by Z. Stewart, Oxford 1972, 1, 134—144); J. P. V. D. Balsdon, The "Divinity" of Alexander, Historia 1, 1950, 383—386; E. Bickerman, Sur un passage d'Hypéride, Athenaeum N. S. 41, 1963, 70—85; Chr. Habicht, Gottmenschentum und griech. Städte², München 1970 (Zetemata 14), 28—36. 246—250; K. M. T. Atkinson, Demosthenes, Alexander, and Asebeia, Athenaeum N. S. 51, 1973, 310—335

2 *Καλλιμέδοντ'*] Kirchner, P. A. 8032; Davies, APF 279 ‖ **12** ss. imitatur Demosthenem 18, 311; 19, 282 (Bl.) ‖ **13** *τριήρεις*] vide G. L. Cawkwell, JHS 83, 1963, 57. 65 ‖ **14** *Εὐβούλου*] v. Kirchner, P. A. 5369; G. L. Cawkwell, JHS 83, 1963, 47—67 | *νεώσοικοι*] cf. Aeschin. 3, 25

1 *τῷ οὐρανῷ* N (*οὐρανῷ* in ras. N¹) ‖ **2** *μέλλει* Apr corr. A² ‖ **5** *ἐν δὴ* N ‖ **13** *τριήρης* N | *διὰ τοῦτον* NA, cf. Demosth. 18, 311: *διὰ τούτου* apogr. ‖ **14** *ἐπὶ βούλου* Npr corr. N² ‖ **16** *ἐπηνώρθωκε* et *κατεσκεύακε* Scheibe ‖ **17** *τοσούτων* Bl. ‖ **18** *ἀνενήνεκται* Bk.: *ἀνήνεκται* ‖ **18. 19** *κόσμος τῇ θεῷ* N (hiat.); *τῇ θεῷ* del. Weidner ‖ **19** *τούτου.* Npr ‖ **19. 20** *οἰκ. δημοσθ.* N: *δημοσθ. οἰκ.* A: del. Weidner

ἄστει, ἢ ἄλλοθί που τῆς χώρας; οὐδεὶς [ἂν] οὐδαμοῦ
97 δείξειεν. ἔπειτα τὸν μὲν ἐν ταῖς πολεμικαῖς πράξεσιν ἄπιστον γεγενημένον, ἐν δὲ ταῖς κατὰ τὴν πόλιν οἰκονομίαις ἄχρηστον, περιεορακότα δὲ τοὺς ἀντιπολιτευομένους ἅπαντα διαπεπραγμένους ὅσ' ἐβουλήθησαν, μεταβεβλημένον 5 δ' αὐτὸν καὶ τὰς ὑπὲρ τοῦ δήμου πράξεις ἐγκαταλελοιπότα,
98 τοῦτον περιποιῆσαι βουλ⟨ήσ⟩εσθε; οὔκ, ἐὰν σωφρονῆτε καὶ καλῶς καὶ ὑπὲρ ὑμῶν αὐτῶν καὶ τῆς πόλεως βουλεύησθε· ἀλλὰ δέξ[ε]σθε τὴν ἀγαθὴν τύχην, ἢ τιμωρήσασθαι παρέδωκε τῶν ῥητόρων τοὺς τὴν πόλιν διὰ τὴν αὐτῶν 10 δωροδοκίαν ταπεινὴν πεποιηκότας, καὶ φυλάξ[ε]σθε, καθάπερ οἱ θεοὶ προειρήκασιν ὑμῖν ἐν ταῖς μαντείαις πολλάκις, τοὺς τοιούτους ἡγεμόνας καὶ συμβούλους. ἀκούσατε δ' αὐτῆς τῆς μαντείας. λέγε τὴν μαντείαν.

ΜΑΝΤΕΙΑ 15

99 Πῶς οὖν μίαν γνώμην ἕξομεν ὦ Ἀθηναῖοι, πῶς ὁμονοήσομεν ἅπαντες ὑπὲρ τῶν κοινῇ συμφερόντων, ὅταν οἱ ἡγεμόνες καὶ οἱ δημαγωγοὶ χρήματα λαμβάνοντες προίωνται τὰ τῆς πατρίδος συμφέροντα, καὶ ὑμεῖς μὲν καὶ ὁ δῆμος ἅπας κινδυνεύῃ περὶ τοῦ ἐδάφους τοῦ τῆς πόλεως 20 καὶ τῶν ἱερῶν τῶν πατρῴων καὶ παίδων καὶ γυναικῶν, οἱ δὲ διηλλαγμένοι πρὸς αὑτοὺς ἐν μὲν ταῖς ἐκκλησίαις λοιδορῶνται καὶ προσκρούωσιν ἀλλήλοις ἐξεπίτηδες, ἰδίᾳ δὲ

14 cf. p. 40, 16 ‖ **20** περὶ τοῦ ἐδάφους κτέ.] cf. Aeschin. 3, 134

1 ἂν Steph.: οὖν ‖ **2** ἐν μὲν Bl. v. Gebauer 123 ‖ **2** et **4** vv. ἄπιστον et ἄχρηστον transponi mal. Bk. ‖ **4** περιεωρακότα codd. ‖ **5** διαπεπραγμένους A²: δὲ πεπραγμένους N Aᵖʳ ‖ **6** πράξεις] τάξεις Naber ‖ **7** βουλήσεσθε Dobr.: βούλεσθε, cf. **8** et p. 59, 18 (Gebauer 34) ‖ **8** βουλεύησθε A¹: -εσθε N Aᵖʳ ‖ **9** δέξεσθε Dobr.: -ασθε ‖ **10** παρέδωκεν ⟨ὑμῖν⟩ mal. Maetz.: παραδέδωκεν? cl. p. 62, 12 Bl. ‖ **11** φυλάξεσθε Dobr.: -ασθε ‖ **14** αὐτῆς] αὖθις Gruter prob. Schmidt: ταύτης Maetz. | λέγε σὺ Ald. | vv. τὴν μαντείαν cum Kleyn abesse mal. Bl. ‖ **16** ὁμονοήσωμεν N ‖ **19** καί² om. Aᵖʳ add. A¹ˢ ‖ **20** κινδυνεύῃ N¹ A²: -εύει Nᵖʳ Aᵖʳ

ταὐτὰ πράττωσιν ἐξαπατῶντες ὑμᾶς τοὺς ῥᾷστα πειθομένους τοῖς τούτων λόγοις; τί γάρ ἐστι ῥήτορος δημοτικοῦ 100
καὶ μισοῦντος τοὺς | κατὰ τῆς πόλεως λέγοντας καὶ γράφοντας; p. 103
ἢ τί φασι τοὺς πρὸ ⌈ὑ⌉μῶν γεγενημένους ὦ
5 Δημόσθενες καὶ Πολύευκτε διατελεῖν ποιοῦντας, καὶ ταῦτ' οὐδενὸς δεινοῦ τότε τὴν πόλιν περιεστηκότος; οὐ κρίνειν ἀλλήλους; οὐκ εἰσαγγέλλειν; οὐ γράφεσθαι παρανόμων; ἔστιν οὖν ὅ τι πεποιήκατε τούτων ὑμεῖς οἱ φάσκοντες τοῦ δήμου κήδεσθαι καὶ τὴν σωτηρίαν ὑμῖν ἐν
10 τῇ τούτων εἶναι ψήφῳ; γέγραψαι ψήφισμα Δημόσθενες, 101
πολλῶν ὄντων καὶ δεινῶν καὶ παρανόμων ὧν Δημάδης γέγραφε; κεκώλυκάς τινα πρᾶξιν ὧν ἐκεῖνος προελόμενος κατὰ τοῦ δήμου πεπολίτευται; οὐδ' ἡντινοῦν. εἰσήγγελκας τὸν παρὰ τ⌈ὰ⌉ τοῦ δήμου ψηφίσμα⟨τα⟩ καὶ τοὺς νόμους
15 πολλὰ διαπεπραγμένον; οὐδεπώποτε, ἀλλὰ περιεῖδες αὐτὸν ἐν τῇ ἀγορᾷ χαλκοῦν σταθέντα καὶ τῆς ἐν πρυτανείῳ σιτήσεως κεκοινωνηκότα τοῖς Ἁρμοδίου καὶ Ἀριστογείτονος ἀπογόνοις. ἔπειτα ποῦ τῆς εὐνοίας τῆς σῆς ὁ δῆμος 102
ἔλαβε πεῖραν, ἢ ποῦ τὴν τοῦ ῥήτορος βοήθειαν καὶ δύνα-
20 μιν ἐξεταζομένην εἴδομεν; ἢ ἐνταῦθα φήσετ' εἶναι δεινοί, εἰ παρακρού⌈εσθ⌉ε τούτους ἀεὶ λέγοντες ὡς 'οὐκ ἔστιν ἔξω τῆς πατρίδος ⌈ἡ⌉μῖν ἐξελθεῖν', 'οὐκ ἔστιν ἄλλη

5 Πολύευκτε] v. Blass 151–153; Kirchner, P. A. 11950 ‖ 15 cf. Pap. Berol. 13045 F τὸν χαλκοῦν ἀνδριάντα κε[ρδ]αίνετε; Sauppe, O. A. 2, 274; Schäfer, Demosth.² 3, 192 n. 4; Blass 152; Wycherley, Test. 209; Klio 39, 1961, 126–128 ‖ 17 Ἀριστογείτονος] v. Kirchner, P. A. 1777; Davies, APF 473–474 ‖ 22 ss. cf. Aeschin. 3, 209; Demosth. Ep. 2, 21–23

1 ταὐτὰ Wolf Gruter: τὰ αὐτὰ N: ταῦτα A | τοὺς] τοῖς A^pr corr. A¹ ‖ 4 ὑμῶν Rei.: ἡμῶν ‖ 8–11 ἔστιν οὖν — παρανόμων om. A^pr add. A¹ mg. infer. | οἱ in ras. N² ‖ 9 τὴν σωτηρίαν κτἑ.: cf. p. 50, 4 | ἡμῖν A^pr corr. A¹ ‖ 10 γέγραψαι NA: γέγραπται apogr.: γέγραπταί σοι vulg. ‖ 11 δεινῶν καὶ παρανόμων N: δεινῶν (δεινῶς Bk.) παραν. A ‖ 13 εἰσήγγ. in mg. A¹ ‖ 14 τὰ ... ψηφίσματα Rei.: τὸ ... ψήφισμα ‖ 15 πολλὰ bis A^pr | οὐδέποτε N ‖ 16 τῆς NA²: τοῖς A^pr Ald. | ἐν τῷ πρυτ. N, cf. p. 27, 5 Thalh. ‖ 19 ἢ ποῦ] ἤπου B: ὅπου LMZ ‖ 20 δεινοί] εὖνοι Dobr. ‖ 21 παρακρούεσθε Bl. (-ετε Dobr.): -σησθε N: -σετε A: -σεσθε Bk. ‖ 22 ἡμῖν Rei.: ὑμῖν cf. p. 15, 22

καταφυγὴ χωρὶς τῆς ⌈ὑ⌉μετέρας εὐνοίας'; φανεροὺς ἐχρῆν γεγενημένους ἀντιπράττοντας καὶ λόγῳ καὶ ἔργῳ τοῖς κατὰ τοῦ δήμου γραφομένοις ψηφίσμασιν, οὕτω πείθειν τούτους λέγοντας ὡς οὐκ ἔστιν ὑμῖν οὐδεμία σωτηρία χω-
103 *ρὶς τῆς παρὰ τοῦ δήμου βοηθείας. ὑμεῖς δ' ἐν τοῖς ἔξω* 5
τὰς ἐλπίδας ἔχετε, ἁμιλλώμενοι ταῖς κολακείαις πρὸς τοὺς ὁμολογοῦντας ὑπὲρ Ἀλεξάνδρου πράττειν καὶ δῶρ' εἰληφέναι παρὰ τῶν αὐτῶν ὧνπερ νῦν ἀποπέφαγκεν ὑμᾶς ἡ βουλή. καὶ σὺ πάντων ἐναντίον τῶν Ἑλλήνων διειλεγμένος Νικάνορι καὶ κεχρηματικὼς {ἐν Ὀλυμπίᾳ} περὶ ὧν ἐβου- 10
λήθης, ἐλεεινὸν νῦν σεαυτὸν κατασκευάζεις προδότης ὢν καὶ δωροδόκος, ὡς ἐπι{με}λησομένους τούτους τῆς σῆς πονηρίας, καὶ οὐ δώσων δίκην ὑπὲρ ὧν εἴληψαι πεποιηκώς,
104 *τοσούτῳ τολμηρότερον Δημάδου, ὥσθ' ὁ μὲν προειρηκὼς ἐν τῷ δήμῳ τὸν ἑαυτοῦ τρόπον καὶ τὴν ἀπόνοιαν, καὶ ὁμο-* 15
λογῶν λαμβάνειν καὶ λήψεσθαι, ὅμως οὐ τετόλμηκε τούτοις δεῖξαι τὸ πρόσωπον, οὐδ' ἐναντία τῇ τῆς βουλῆς ἀποφάσει λέγειν ἠξίωσε — καίτοι οὐκ ἔγραψεν ἐκεῖνος περὶ αὑτοῦ κυρίαν εἶναι τὴν βουλήν, οὐδὲ θάνατον ὡρίσατο, ἐὰν ἀποφανθῇ χρήματ' εἰληφώς —· σὺ δ' οὕτω σφόδρα 20
πεπίστευκας τοῖς σεαυτοῦ λόγοις καὶ καταπεφρόνηκας τῆς τούτων εὐηθείας, ὥστε πείσειν οἴει τοὺς δικαστὰς ὡς μόνου σοῦ κατέψευσται τὸ συνέδριον καὶ μόνον οὐκ εἰληφότα σὲ τὸ χρυσίον ἀποπέφαγκεν. καὶ τίς ἂν ταῦτα πεισθείη;

7 *δῶρ' εἰληφέναι κτέ.*] „Demadem hic quoque dicit, cf. § 104" Bl. ‖ **17** s. „loquitur de iis quae in contione acta sunt, cf. § 89; nam in iudicium Demades nondum venerat, cf. § 105" Bl.

1 *ὑμετέρας* apogr.: *ἡμετέρας* **NA(B)** ‖ **3** *οὕτω* **A²**: *οὐ τῷ* **NA**^pr ‖ **4** *λέγοντας* secl. Thalh. ‖ **8** *ἡμᾶς* **N** ‖ **9** *ἐναντίον τῶν Ἑλλ.* Maetz.: *ἐναντίων τ. ἑλλ.* **N**: *τῶν ἑλλ. ἐναντίον* **A** ‖ **10** *ἐν Ὀλ.* del. Kleyn | *ἠβουλήθης* **N** ‖ **11** *ἐλεινὸν* edd., sed cf. Menand. Sam. 371 (156), Dysc. 297 et v. E. Dodds, Plato Gorgias, Oxford 1959, 238 ‖ **12** *ἐπιλησομένους* Steph.: *ἐπιμελησομένους* codd.: *ἐπιλελησμένους* Rei. ‖ **13** *ὑπὲρ*] *περὶ* **A**^pr corr. **A¹** ‖ **16** *τετόλμηκεν αὐτοῖς* **A** ‖ **17** *ἐνδεῖξαι* **N** | *τῇ* om. **A**^pr add. **A¹** ‖ **19** post *θάνατον* addi *ἑαυτῷ εἶναι τὴν ζημίαν* mal. Maetz. cl. p. 34, 4 Lycurg. 65 ‖ **22** *οἴειν* **A**^pr (ras. corr.)

Ὁρᾶτ' ὦ Ἀθηναῖοι, τί μέλλετε ποιεῖν. παρειλήφατε 105
παρὰ τοῦ δήμου τὸ πρᾶγμα τὸ γεγενημένον εἰδό⟨το⟩ς,
τιμωρίας δ' ἕνεκα τῆς κατὰ τῶν ἐνόχων ὄντων ταῖς ἀπο-
φάσεσι. Δημοσθένης εἰσάγεται πρῶτος. κατηγορήκαμεν
5 ἡμεῖς ⟨οὐδὲν⟩ οὐδενὶ καταχαρισάμενοι τῶν κοινῶν δι-
καίων. πότερ' ἀμελήσαντες τῶν γεγενημένων ἁπάντων 106
ἀφήσετε τὸν πρῶτον εἰσεληλυθότα πρὸς ὑμᾶς, καὶ τὰ
δίκαια {τὰ} παρὰ τῷ δήμῳ καὶ τῇ βουλῇ τῇ ἐξ Ἀρείου
πάγου δόξαντ' εἶναι καὶ τοῖς ἄλλοις ἅπασιν ἀνθρώποις,
10 ταῦθ' ὑμεῖς οἱ κύριοι πάντων λύσετε, καὶ τὴν πονηρίαν
αὐτοὶ τὴν τούτων ἀναδέξεσθε; ἢ πᾶσιν ἀνθρώποις παρά- 107
δειγμ' ἐξοίσετε κοινὸν ὑπὲρ τῆς πόλεως, ὅτι μισεῖτε τοὺς
προδότας καὶ τοὺς χρημάτων ἕνεκα προϊεμένους τὰ τοῦ
δήμου συμφέροντα; ταῦτα γὰρ ἅπαντ' ἐστὶν ἐφ' ὑμῖν νῦν,
15 καὶ πεντακόσιοι καὶ χίλιοι ὄντες τὴν ἁπάσης τῆς πόλεως
σωτηρίαν ἐν ταῖς χερσὶν ἔχετε, καὶ ἡ τήμερον ἡμέρα καὶ
ἡ ὑμετέρα ψῆφος πολλὴν ἀσφάλειαν τῇ πόλει καταστήσει
τὰ δίκαι' ὑμῶν ἐθελόντων κρίνειν, ἢ μοχθηρὰς ἐλπίδας
ἔχειν ποιήσετε πάντας τοιαῦθ' ὑμῶν ἔθη καθιστάντων.
20 Οὐ καταπληκτέον ἐστὶν ἄνδρες Ἀθηναῖοι, οὐδὲ προετέον, 108
ἐὰν σωφρονῆτε, τοῖς Δημοσθένους | ἐλέοις τὴν κοινὴν καὶ p. 104
δικαίαν ὑπὲρ τῆς πόλεως ἀπολογίαν. οὐδεὶς γὰρ ὑμῶν
ἠνάγκαζε τοῦτον τὰ μὴ προσήκοντα χρήματα λαμβάν[ειν]

4 *εἰσάγεται πρῶτος*] cf. 7 et p. 54, 5; Demosth. epist. 2, 14 ‖ 21 *τοῖς Δημ. ἐλέοις*] cf. p. 53, 6

2 *εἰδότος* Emper.: *εἶδος* codd.: *ἤδη* Ald. et edd.: *ὄνειδος* Turr.: *αὐτοὶ γεγ. εἰδότες* Sch.: *τὸ γεγ. εἰδότες* Finke ‖ 4 punctum post *ἀποφ.* posuit Bl. ‖ 5 ⟨*οὐδὲν*⟩ *οὐδενὶ* sive *οὐδὲν* Rei. ‖ 7 *πρὸς*] *παρ'* A^{pr} corr. A^{1} ‖ 8 *τὰ* auct. Saup. del. Maetz. ‖ 10 *οἱ* add. A^{1s} ‖ 11 *ἀναδέξασθε* A^{pr} corr. A^{1} ‖ 12 *ἐξοίσετε*] *ποιήσετε* Kleyn ‖ 13 *προϊεμένους* A(B): *προιμένους* N ‖ 17 *ἐν τῇ πόλει* N ‖ 18 *μοχθηρὰς*] *πονηρὰς* A^{pr} corr. A^{1}, cf. Ant. IV 2 ubi fort. praestat *μοχθηρῷ* ‖ 19 *ποιήσετε πάντας ἔχειν* A | *ποιήσει* Dobr. | *ποιήσετε πάντας* del. Weidner ‖ 20 *καταπληκτέον* N^{2}A^{2}: *καταπλεκτέον* N^{pr}A^{pr}: *καταλλακτέον* Kleyn | *ἄνδρες ἀθ.* N: *ὦ ἄ. ἀθ.* A cf. p. 18, 1 | *προ..τέον* N^{pr} corr. N^{1} *πλ..τέον* A^{pr} corr. A^{1} ‖ 22 *ἀπολογίαν*] *τιμωρίαν* Bk. (Add.), sed cf. Maetz. comm. ‖ 23 *λαμβάνειν* Wolf: *-νοντα* codd.: *λαμβάνειν τὰ* Ald.

καθ' ὑμῶν, πολλῷ πλείω τῶν ἱκανῶν δι' ὑμᾶς ἕτερα κεκτημένον, οὐδ' ἀπολογεῖσθαι νῦν ὑπὲρ τῶν ὡμολογημένων ἀδικημάτων, γράψαντα καθ' ἑαυτοῦ θάνατον τὴν ζημίαν· ἀλλ' ἡ ἐκ τοῦ ἄλλου βίου ἔμφυτος αἰσχροκέρδεια καὶ πο-
109 *νηρία ταῦτ' εἰς τὴν κεφαλὴν αὐτῷ τέτρ⌈ο⌉φε. μὴ οὖν* 5 *ἄχθεσθ' αὐτοῦ κλαίοντος καὶ ὀδυρομένου· πολὺ γὰρ ἂν δικαιότερον ἐλεήσ⌈αι⌉τε τὴν χώραν, ἣν οὗτος εἰς τοὺς κινδύνους καθίστησιν τοιαῦτα πράττων, ἣ τοὺς ἐξ ἑαυτῆς γεγενημένους ὑμᾶς ἱκετεύει, παραστησαμένη τὰ ὑμέτερα τέκνα καὶ γυναῖκας, τιμωρήσασθαι τὸν προδότην καὶ* 10 *σῴζειν ἑαυτήν, ὑπὲρ ἧς οἱ πρόγονοι πολλοὺς καὶ καλοὺς ἀγῶνας ὑπομείναντες ἐλευθέραν ὑμῖν αὐτὴν παραδεδώκασιν, ἐν ᾗ πολλὰ καὶ καλὰ παραδείγματα λέλειπται τῆς*
110 *τῶν τελευτησάντων ἀρετῆς. εἰς ταύτην ἀποβλέψαντας ὦ Ἀθηναῖοι καὶ τὰς ἐν αὐτῇ γιγνομένας πατρίους θυσίας καὶ* 15 *τὰς τῶν προγόνων θήκας, φέρειν δεῖ τοὺς εὖ φρονοῦντας τὴν ψῆφον. καὶ ὅταν Δημοσθένης ἐξαπατῆσαι βουλόμενος καὶ παρακρουόμενος ὑμᾶς οἰκτίζηται καὶ δακρύῃ, ὑμεῖς εἰς τὸ τῆς πόλεως ⌈ὄνομ'⌉ ἀποβλέψαντες καὶ τὴν πρότερον δόξαν ὑπάρχουσαν αὐτῇ, ἀντίθετε, πότερον ἡ πόλις ἐλεεινο-* 20
111 *τέρα διὰ τοῦτον γέγονεν ἢ διὰ τὴν πόλιν Δημοσθένης. εὑρήσετε γὰρ τοῦτον μὲν λαμπρὸν ἐξ οὗ προσελήλυθε πρὸς τὸ πολιτεύεσθαι γεγενημένον, καὶ ἀντὶ μὲν λογογράφου καὶ*

2 *ἀπολογεῖσθαι* A^pr: *ἀπολεῖσθαι* N A^c (ras. corr.) ‖ **5** *τέτροφε* Bl., cf. p. 22, 14: *τέτραφε* ‖ **6** *ἄχθεσθε*] *ἀνέχεσθε* Naber ‖ **7** *ἐλεήσαιτε* Dobr.: *ἐλεήσετε* codd.: *δὴ δικαιότερον ἐλεήσετε* Richards ‖ **7. 8** *εἰς τοὺς κινδ. καθίστ.* N: *καθ. εἰς τοὺς κινδ.* A: *καθ. εἰς τοὺς* ⟨*ἐσχάτους*⟩ *κινδ.* Naber ‖ **9** *ἡμᾶς* N^pr corr. N² ‖ **11** *πολλοὺς καὶ καλλοὺς* N: *καλοὺς καὶ πολλοὺς* A: *καλοὺς καὶ* del. Bait. cl. p. 72, 6: *πολλοὺς καὶ μεγάλους* Bk. ‖ **12** *ἀγῶνας*? A^pr: *κινδύνους* N A¹ „(quod modo praecessit). cf. Isocr. 4, 52" Bl. | *αὐτὴν ὑμῖν* A ‖ **14** *ἀποβλέψαντ.ς* N^pr corr. N¹ ‖ **17. 18** aut *ἐξαπατῶν καὶ παρακρουόμ.* aut *ἐξαπατῆσαι βουλ. καὶ παρακρούεσθαι* mal. Rei. ‖ **18** *ἡμᾶς* N | *οἰκτίζεται* A^pr corr. A¹ | *δακρύῃ* N¹ A¹: *δακρύει* A^pr (*δακρύ.* N^pr) ‖ **19** *ὄνομ'* Jo. Ebert cl. Demosth. 13, 19; 20, 69: *σῶμα* codd.: *ἀξίωμα* Markland cl. p. 72, 8: *σχῆμα* Richards ‖ **20** *αὐτῇ ὑπάρχουσαν* A | *πρότερον* A^pr (ras. corr.) ‖ **22** *προσελήλυθεν* (*προελ.* A^pr corr. A¹) *εἰς* A

*μισθοῦ τὰς δίκας λέγοντος ὑπὲρ Κτησίππου καὶ Φορ-
μίωνος καὶ ἑτέρων πολλῶν πλουσιώτατον ὄντα τῶν ἐν
τῇ πόλει, ἀντὶ δ' ἀγνῶτος καὶ οὐδεμίαν πατρικὴν δόξαν
παρὰ τῶν προγόνων παρειληφότος ἔνδοξον γεγενημένον,*
5 *τὴν δὲ πόλιν οὐκ ἀξίως ἑαυτῆς οὐδὲ τῆς τῶν προγόνων
δόξης διακειμένην. ἀφέντες οὖν τοὺς ἐλέους καὶ τοὺς
φενακισμοὺς τοὺς τούτου τὴν δικαίαν καὶ τὴν ὁσίαν φέ-
ρετε ψῆφον, καὶ σκοπεῖτε τὸ τῇ πατρίδι συμφέρον, μὴ τὸ
Δημοσθένει· τοῦτο γάρ ἐστι καλῶν κἀγαθῶν δικαστῶν*
10 *ἔργον. καὶ ὅταν ἀναβαίνῃ τις συνηγορήσων Δημοσθένει,* 112
*λογίζεσθ' ὅτι οὗτος ὁ ἄνθρωπος, εἰ μὲν μὴ ἔνοχος ὢν
ταῖς μελλούσαις ἀποφάσεσιν ἀναβαίνει, κακόνους ἐστὶ τῇ
πολιτείᾳ, καὶ τοὺς ἐπὶ τῷ δήμῳ δῶρα λαμβάνοντας οὐ
βουλόμενος δίκην δοῦναι, καὶ τὴν κοινὴν τῶν ὑμετέρων*
15 *σωμάτων φυλακήν, ἐφ' ᾗ τέτακται τὸ ἐν Ἀρείῳ πάγῳ
συνέδριον, καταλυθῆναι βούλεται καὶ συγκεχύσθαι πάντα
τὰ ἐν τῇ πόλει δίκαια· εἰ δὲ ῥήτωρ ἢ στρατηγός, οἳ τὴν
προσδοκωμένην καθ' αὑτῶν ἀπόφασιν ἄπιστον βουλό-
μενοι γενέσθαι συνηγορήσουσιν, οὐ προσεκτέον ὑμῖν ἐστι*
20 *τοῖς τούτων λόγοις, εἰδότας ὅτι ἐκ πάντων τούτων γ[εγέ-
νη]ται συνεργία περὶ τὸν Ἁρπάλου κατάπλουν καὶ τὴν
ἄφεσιν. νομίσαντες οὖν ὦ Ἀθηναῖοι καθ' ὑμῶν πάντας* 113
*τούτους ἀναβαίνειν καὶ κοινοὺς ἐχθροὺς εἶναι τῶν νόμων
καὶ τῆς πόλεως ἁπάσης, μὴ ἀποδέχεσθ' αὐτῶν, ἀλλὰ*
25 *κελεύετ' ἀπολογεῖσθαι περὶ τῶν κατηγορημένων· μηδὲ*

1 *Κτησίππου*] v. Kirchner, P. A. 8885; Davies, APF 561; cf. Plut. Demosth. 15, 3 | *Φορμίωνος*] v. Kirchner, P. A. 14951; cf. Davies, APF 431—432 || **2** *πλουσιώτατον*] cf. Hyper. 1, 22, 11

2 *πλουσιώτερον* **A** || **5** *τὴν*] *τῆς* **A**pr corr. **A**[1] || **7** *τὴν ὁσίαν καὶ δικ.* **A**, cf. p. 62, 7; Thalheim, De Dinarchi codd. 11 || **8** *τὸ*[2]] *τῷ* **N(MZ)** || **9** *καλὸν κἀγαθὸν* **N** || **10** ....*ήσων* **N**pr corr. **N**[1] || **11** *λογίζεσθε ... ἄνθρ.* in mg. **N**[2] || **12** *ἀποβάσεσιν* **A**pr corr. **A**[1] || **13** *καὶ* susp. Thalh. || **18** *καθ' αὑτῶν προσδ.* **A** || **19** *συνηγορήσουσιν* Bl. cl. vs. **10**: *συνηγοροῦσιν* || **20** *εἰδόσιν* Rei. | *γεγένηται* Maetz.: *γίνεται* (*γ..νεται* **N**pr) **AN**[1] || **24** *τὰς προφάσεις* vel *τοὺς φενακισμούς* post *αὐτῶν* add. Maetz. (in comm.) | *ἀλλ'* ⟨*αὐτὸν*⟩ Bl. || **25** ....*σθαι* **A**pr (*κατηγορῆσθαι?*) corr. **A**[1]

τὴν αὐτοῦ τούτου μανίαν, ὃς μέγα φρονεῖ ἐπὶ τῷ δύνασθαι λέγειν, καὶ ἐπειδὰν φανερὸς ὑμῖν γένηται δωροδοκῶν, ἔτι μᾶλλον ἐξελήλεγκται φενακίζων ὑμᾶς,⟨ἀλλὰ⟩ τιμωρήσασθ' ὑμῶν αὐτῶν καὶ τῆς πόλεως ἀξίως. εἰ δὲ μή, μιᾷ ψήφῳ καὶ ἑνὶ ἀγῶνι πάντας τοὺς ἀποπεφασμένους καὶ τοὺς μέλ- 5 λοντας ἀφέντες, εἰς ὑμᾶς αὐτοὺς καὶ τὸν δῆμον τὴν τούτων δωροδοκίαν τρέψετε, κἂν ὕστερον ἐγκαλῆτε τοῖς ἀφεῖσιν, ὅτ' οὐδὲν ἔσται πλέον ὑμῖν.

114 Ἐγὼ μὲν οὖν, ὅσον εἰς τὸ μέρος τοὐμὸν τῆς κατηγορίας ἧκει, βεβοήθηκα, τἆλλα πάντα παριδὼν πλὴν τοῦ δι- 10 καίου καὶ τοῦ συμφέροντος ὑμῖν. οὐκ ἐγκαταλέλοιπα τὴν πόλιν, οὗ χάριν προὐργιαιτέραν τῆς τοῦ δήμου χειροτονίας ἐποιησάμην. ἀξιῶν δὲ καὶ ὑμᾶς τὴν αὐτὴν γνώμην ἔχειν, παραδίδωμι τὸ ὕδωρ τοῖς ἄλλοις κατηγόροις.

2.

p. 105 | ΚΑΤ' ΑΡΙΣΤΟΓΕΙΤΟΝΟΣ 15

Πάνθ' ὡς ἔοικεν ὦ Ἀθηναῖοι προσδοκητέ' ἐστὶ καὶ ἀκοῦσαι καὶ ἰδεῖν ἐν ταῖς γεγενημέναις ἀποφάσεσι· θαυμασιώτατον δὲ πάντων, ὡς ἐμοὶ δοκεῖ, τὸ νῦν γιγνόμενον.

5 cf. p. 31, 19. 33; 3; Hyper. 1, 5, 19. 31, 5—11 || 14 παραδίδωμι τὸ ὕδωρ τοῖς ἄλλοις κατηγόροις] v. Lipsius, A. R. 915 n. 53; U. Kahrstedt, Studien z. öffentlichen Recht Athens, Stuttgart 1934 et 1936, 1, 305; 2, 223—224; 284—285; M. Lavency, Aspects de la logographie judiciaire attique, Louvain 1964, 87 n. 7 || 15 Ἀριστογείτονος] Thalheim, RE II 1, 1895, 931—932; Kirchner, P. A. 1775; cf. R. Sealey, Essays in Greek Politics, New York 1967, 186—199. de oratione v. Schäfer, Demosth.² 3, 345; Blass 314—315 || 16 „verba Πάνθ' ὡς ἔοικεν ὦ ἄνδρες ut initium orationis affert Dion. de Dinarch. c. 10" Bl.

2 καὶ ἐπειδὰν] καὶ ἐπειδὴ Z: ἀλλ' ἐπειδή, ἂν Thalh. | φανερῶς N | ἔτι NA(B): ὅτι cett. || 3 φαιν. A^pr corr. A² | ἀλλὰ add. Rei. || 7 κἂν N¹ (κα. pr.) A¹ (καὶ pr.): κᾆθ' Bl. | ἐγκαλῆτε N¹A¹ (ἐγκαλ.τε N^pr ἐγκαλεῖτε A^pr Bl.) | ἐγκ. αὐτοῖς „vosmet ipsos" Dobr. || 12 προργιαιτ. A^pr corr. A¹ || 14 κατὰ δημοσθένους subicit N || 15 tit. om. apogr. || 16 fort. τἀπροσδόκητα Bl., sed cf. D. Hal. A. R. 4, 33, 1 (Fuhr)

ὁ γὰρ πονηρότατος τῶν ἐν τῇ πόλει, μᾶλλον δὲ καὶ τῶν
ἄλλων ἀνθρώπων, Ἀριστογείτων διαδικασόμενος ἥκει τῇ
ἐξ Ἀρείου πάγου βουλῇ περὶ ἀληθείας καὶ δικαιοσύνης,
καὶ νυνὶ μείζονα κίνδυνον ἢ τὴν ἀπόφασιν πεποιημένη
5 βουλὴ κινδυνεύει, ἢ ὁ δῶρα λαμβάνων καθ' ὑμῶν καὶ τὴν
ὑπὲρ τῶν δικαίων παρρησίαν ἀποδόμενος εἴκοσι μνῶν.
τούτῳ μέν γε καινὸν οὐδὲν οὐδὲ δεινόν, ἐὰν ἁλῷ, συμβή- 2
σεται· καὶ γὰρ θανάτου ἄξια πολλὰ πρότερον ἕτερα διαπέ-
πρακται, καὶ ἐν τῷ δεσμωτηρίῳ πλείω χρόνον ἢ ἔξω διατέ-
10 τριφε, καὶ ὀφείλων τῷ δημοσίῳ κατὰ τῶν ἐπιτίμων γέγρα-
φεν οὐκ ἐξὸν αὐτῷ, καὶ ἕτερα πολλὰ καὶ δεινὰ πεποίηκε,
περὶ ὧν ὑμεῖς ἀκριβέστερον ἐμοῦ γιγνώσκετε· τῇ δὲ βουλῇ
τὸ δόξαι τὰ ψευδῆ κατ' Ἀριστογείτονος ἀποφαίνειν, καὶ
τοῦτον ἐκείνης ὑποληφθῆναι παρ' ὑμῖν δικαιότερα λέγειν,
15 τῶν αἰσχίστων καὶ δεινοτάτων ἐστί. διόπερ ὦ Ἀθηναῖοι 3
οὗτός μοι δοκεῖ, τὸν ἀγῶν' ἀσφαλῆ νομίζων αὐτῷ εἶναι,
διαπειρασόμενος ἥκειν τῆς ὑμετέρας γνώμης· ἅπαντα γὰρ
αὐτῷ πολλάκις τὰ δεινὰ συμβέβηκε, πλὴν τοῦ ἀποθανεῖν.
τοῦτο δ', ἂν θεὸς θέλῃ καὶ ὑμεῖς σωφρονῆτε, ἐν τῇ τήμε-
20 ρον ἡμέρᾳ συμβήσεται. οὐ γὰρ δὴ μὰ τὸν Ἡρακλέα βελτίω
γενήσεσθ' αὐτὸν προσδοκᾶτε συγγνώμης νυνὶ τυγχάνοντα
παρ' ὑμῶν, οὐδὲ τὸ λοιπὸν ἀφέξεσθαι τοῦ λαμβάνειν χρή-
ματα καθ' ὑμῶν, ἐὰν νῦν ἀφῆτ' αὐτόν. πονηρίαν γὰρ
ἀρχομένην μὲν κωλῦσαι τάχ' [ἂν] τις κολάζων δυνηθείη,
25 ἐγκαταγεγηρακυῖαν δὲ καὶ ⟨περι⟩γεγενημένην τῶν εἰθισ-

2 ἄλλων] ἁπάντων Fuhr^{2} 574 ‖ 5 „λαβὼν? sed cf. 15. 20. 24. 26" Bl. ‖ 10 κατὰ] μετὰ Naber, fort. recte | ἐπιτίμων A^{2}: ἐπὶ τιμῶν N A^{pr} ‖ 12 ἀκριβέστερον ὑμεῖς A ‖ 13 τὸ καὶ δ. susp. Thalh.: τῷ δόξαι Kohm^{1} cf. p. 57, 8s. | ψευδῆ A ras. corr. (τὰ ψευδῆ ut vid. A^{pr}): καὶ ψευδῆ N | καὶ ⟨τὸ⟩ τ. Kohm^{1} cl. p. 57, 8s. ‖ 14 παρ' ὑμῖν ὑποληφθ. A apogr. (ὑπολει- MZ) ‖ 16 αὐτῷ (αὐτῶν apogr.) ἀσφ. εἶναι νομ. A(L) | αὐτῷ εἶναι del. Weidner ‖ 21 γενήσεσθαι N (-αι N^{2} ut vid.): fort. γενήσασθ' A^{pr} γενήσεσθαι A^{1} ‖ 24 τάχ' ἂν Bk.: τάχα ‖ 25 ⟨περι⟩-γεγενημένην Toup: γεγενημένην codd. (B me teste): γεγευμένην Steph.: γεγενημένην ⟨κρείττω⟩ Palmer

4 *μένων τιμωριῶν ἀδύνατον εἶναι λέγουσιν. εἰ μὲν οὖν ἐγ-γεν[έ]σθαι βούλεσθε δευσοποιὸν ἐν τῇ πόλει πονηρίαν, διαφυλάττειν ὑμᾶς Ἀριστογείτονα δεῖ, καὶ ἐᾶν ὅ τι ἂν {τις} βούληται ἐν τῇ πόλει διαπράττεσθαι· εἰ δὲ τοὺς πονηροὺς καὶ καταράτους ἀνθρώπους μισεῖτε, καὶ ἔστιν* 5 *ὑμῖν ὀργὴ καὶ μνήμη τῶν πρότερον ὑπὸ τούτου πεπραγμέ-νων, ἀποκτείνατε τοῦτον, ὃς παρ' Ἁρπάλου λαβεῖν χρήματ' ἐτόλμησεν, ὃν ᾔσθεσθ' ἥκειν καταληψόμενον τὴν πόλιν ὑμῶν, καὶ τὰς προφάσεις καὶ τοὺς φενακισμοὺς ἐκκόψατ' αὐτοῦ· τούτοις γὰρ ἥκει πιστεύων πρὸς ὑμᾶς.* 10

5 *Ἆρ' ἴσθ' ὅτι τῆς Ἁρπάλου ἀφίξεως δυσχεροῦς οὔσης, ἐκεῖνο συμβέβηκεν εὐτύχημα τῇ πόλει, διότι πεῖραν εἰλή-φατ' ἀκριβῆ τῶν ἕνεκ' ἀργυρίου καὶ χρυσίου πάντα προϊε-μένων τοῖς τῆς πόλεως ἐχθροῖς; μὴ καταρρᾳθυμήσητ' ὦ Ἀθηναῖοι, μηδ' ἀπείπητε τιμωρούμενοι τοὺς πονηρούς,* 15 *ἀλλ' ἐκκαθάρατε, καθ' ὅσον δυνατόν ἐστι, τὴν δωροδοκίαν ἐκ τῆς πόλεως. καὶ μὴ τῶν παρ' ἐμοῦ λόγων ἀκούειν ζητή-σητε, φανερῶν ὑμῖν γεγενημένων τῶν ἀδικημάτων κατὰ*
6 *τῶν ὑπὸ τῆς βουλῆς ἀποπεφασμένων. τί γὰρ ἀγνοεῖτε δι' ὃ δεῖσθε λόγων ἀκούειν κατὰ τοῦ νῦν κρινομένου; πότερ'* 20 *ἡ τῆς βουλῆς ἀπόφασις, ἐὰν μὲν ἡμεῖς οἱ κατήγοροι δέκ'*

2 *δευσοποιὸν ... πονηρίαν*] cf. Bk. *Λέξ. ῥητ.* 237, 12 Phot.(z) Suda s. v. *δευσοποιός*; cf. etiam Harpocr. s. v. *δευσ.* Pollux 1, 44, al.; fort. e Plat. Rep. 429e, 430a. in mg. N *ἤγουν ἀνεξάλειπτον καὶ ἀνέκπλυτον* ‖ 21 *οἱ κατήγοροι*] cf. p. 12, 2s.; Hyper. 1, 38, 10–11

1 *ἐγγενέσθαι* (Sihler) Bl.: *ἐγγενήσεσθαι* ‖ 3 *διαφ.*] *δια* in ras. A[1] ‖ 4 *τις* auct. Bk. del. Bl. ‖ 8 *ᾔσθεσθ'* AN[2] (*ᾔσθετ'* N[pr]): *ᾔσθεσθ'* ‖ 9 *ἡμῶν* N(Z) ‖ 11 *ἆρ' ἴστε* N[2] A: *ἄριστε* N[pr] ‖ 13 *προϊε-μένων πάντα* A: *προϊεμ. ἂν πάντα* vel *πάντ' ἂν* mal. Dobr. ‖ 14 *μὴ οὖν κατ.* N[2] ‖ 16 *ἐκκαθήρατε* Saup. ‖ 17 *ζητήσητε* A[2]: *-σετε* NA[pr] ‖ 18 *κατὰ* NA[pr]: *ἐκ* A[2] apogr. cf. 20 et p. 71, 17 ‖ 19 *ὑπὸ* A[1s] | *-φασμένου* A[pr] corr. A[1] | „Post *ἀποπεφ.* vulgo sequebantur haec: *ἢ διὰ τοὺς τοῦ κρινομένου* (ita NA: *ἢ διὰ τοὺς κρινομένους* vulg.) *προγόνους καὶ* (*διὰ* add. N) *τὴν αὐτοῦ μετριότητα, καὶ ὅτι ὑμᾶς πολλὰ* (*πολλὰ ὑμᾶς* N) *καὶ ἰδίᾳ καὶ δημοσίᾳ ἀγαθὰ εἴργασται, ἄξιον* (*ἐστιν* add. N) *αὐτοῦ φείσασθαι*; quae coll. § 8 cum Bk. del. Turr. Apparet alteram recensionem esse eorum quae § 8 legun-tur" Bl.

ὄντες τὸ ὕδωρ ἀναλώσωμεν ἅπαν, καὶ ἀναβοήσωμεν ὡς
δεινόν ἐστιν ἀφεῖσθαι τοὺς εἰλημμένους ἔχοντας ἐπ'
αὐτοφώρῳ δῶρα κατὰ τῆς πατρίδος, ἀληθὴς καὶ δικαία·
ἐὰν δ' ἕκαστος ἡμῶν, ὡς εἰδότων ὑμῶν πάντ' οὐδὲν ἧττον 7
5 *ἡμῶν τὰ δίκαια περὶ τουτωνὶ τῶν ἀγώνων, βραχέ' εἰπὼν*
καταβῇ, | ψευδὴς καὶ ⌈*οὐ δικαίως*⌉ ⟨*ἔσται ἡ κατ' Ἀριστο-* p. 106
γείτονος ἀπόφασις⟩ *παρὰ τῶν Ἀρεοπαγιτῶν γεγενημένη;*
ἢ τὸ δῶρα λαμβάνειν ἐπὶ προδοσίᾳ τῶν τῆς πόλεως συμ-
φερόντων οὐκ ἴσθ' ὅτι τῶν δεινοτάτων ἐστὶ καὶ τῶν
10 *πλεῖστα κακὰ τὰς πόλεις ἐργαζομένων;*

Ἀλλ' αὐτὸς ὁ κρινόμενος νὴ Δία μέτριος τὸν τρόπον, 8
καὶ προγόνων χρηστῶν, καὶ πόλλ' ὑμᾶς καὶ ἰδίᾳ καὶ δη-
μοσίᾳ καλὰ εἰργασμένος, ὥστε διὰ τ[*α*]*ῦτ' ἄξιόν ἐστιν*
αὐτοῦ φείσασθαι; καί⟨*τοι*⟩ *τίς ὑμῶν οὐ πολλάκις ἀκήκοεν,*
15 *ὅτι Κυδιμάχου μὲν τοῦ πατρὸς τοῦ Ἀριστογείτονος θανά-*
του καταγνωσθέντος καὶ φυγόντος ἐκ ταύτης τῆς πόλεως,
ὁ χρηστὸς οὗτος υἱὸς περιεῖδε τὸν αὑτοῦ πατέρα καὶ ζῶντα
τῶν ἀναγκαίων σπανίζοντα καὶ τελευτήσαντ' οὐ τυχόντα
τῶν νομίμων, ἅπερ αὐτοῦ πολλάκις κατεμαρτυρεῖτο·
20 *αὐτὸν δὲ τοῦτον, ὅτ' εἰς τὸ δεσμωτήριον τὸ πρῶτον ἀπ-* 9
ήχθη — πολλάκις γὰρ ἴστε δήπου τοῦτο γεγενημένον —,

8 ss. cf. Andoc. 1, 74; Demosth. 21, 113 ‖ **15** *Κυδιμάχου*] v. Kirchner, P. A. 8930 et 1775 ‖ **17** ss. *περιεῖδε τὸν αὑτοῦ πατέρα*] cf. p. **61**, 12 ss.

1 *ἀναλώσομεν* A^{pr} corr. A^{1} ‖ **2** *ἀφεῖσθαί ἐστιν* N „sed in N notae superpictae sunt, quae transponenda haec esse indicare videntur“ Bl.: *ἀφίεσθαι* mal. Turr. ‖ **3** post *δικαία* sequeb. *ἔσται* (sic N, cett. h. l. om.) *ἡ κατ' Ἀριστογείτονος ἀπόφασις* (*ἔσται* add. A cett.) quae trp. Bl. in § 7, del. Dobr.: *ἀπόφασις* coll. or. 3, 5 del. Maetz. ‖ **4** *ἡμῶν*] *ἡ-* N^{1} ut vid. ‖ **6** *οὐ δικαίως* Hug: *οὐδεὶς ὡς* N A^{pr}: *οὐδεὶς ταύτῃ πιστεύσει* (*ταύτῃ πιστ.* in mg.) *ὡς* A^{2} apogr.: *ἄδικος* Bl. ‖ **6. 7** *ἔσται … ἀπόφασις* add. Bl. ex vs. 3, scripsitque *γεγενημένη* pro *-νῃ* cl. p. 66, 11 ‖ **8** *τὸ* A^{1s} ‖ **11** ss. cf. adnot. ad p. 56, 19 ‖ **12** *ὑμᾶς* N(Z): *ἡμᾶς* A ‖ **13** „*καλὰ*] *ἀγαθὰ* § 6 [v. ad p. 56, 19] (hiat.). cf. Andoc. 2, 17“ Bl. | *ταῦτ'* Bl.: *τοῦτ'* ‖ **14** *καίτοι* Rosbg.: *καὶ* ‖ **15** *κυδιμάχου* N: *τοῦ κυδ.* A | *ἀριστο….* A^{pr} corr. A^{1} ‖ **17** *υἱὸς* fort. del. cl. Demosth. 24, 200 (Bl.) | *αὐτοῦ* N ‖ **21** *τοῦτο δήπου* A

τοιαῦτα τολμήσαντα ποιεῖν αὐτο[ῦ], ὥστ' ἐκείνους ἀποψηφίσασθαι μήτε πῦρ ἐναύειν τούτῳ μήτε συσσιτεῖν μηδένα μήτε θυσιῶν τῶν γιγνομένων κοινωνεῖν. καίτοι ὦ Ἀθηναῖοι τίνα χρὴ τοῦτον νομίζειν διάνοιαν ἔχειν, ὃς διὰ
10 *μὲν πονηρίαν εἰς τὸ δεσμωτήριον ἐνέπεσεν, ἐκεῖ δ' ὢν* 5
παρὰ τοῖς ἐκ τῶν ἄλλων ἀνθρώπων κακούργοις ἀ[π]ηγμένοις οὕτως εἶναι πονηρὸς ἔδοξεν, ὥστε μηδ' ἐκε[ῖ] τῶν ἴσων ἀξιοῦσθαι τοῖς ἄλλοις, ἀλλὰ κλέπτην ὥς φασι ληφθέντα τουτονὶ παρ' ἐκείνοις, εἰ ἦν ἕτερός τις τόπος ἀνοσιώτερος ἵν' ἐξῆν ἀπάγειν τοὺς ἐκ τοῦ δεσμωτηρίου κλέ- 10
πτοντας, εἰς ἐκεῖνον ἂν τοῦτο τὸ θηρίον ἀπαχθῆναι. καὶ ταῦθ', [ὅ]περ ἀρτίως εἶπον, τίς οὐκ οἶδε καταμαρτυρηθέντ' Ἀριστογείτονος, ὅτ' ἐμπορίου ἐπιμελητὴς λαχὼν ἀπεδοκιμάσθη ὑπὸ τῶν τότε δικαζόντων ἄρχειν ⟨τ⟩αύτην τὴν
11 *ἀρχήν; ἔπειτ' εἰρωνεύεσθε πρὸς ὑμᾶς αὐτούς, καὶ περὶ* 15
Ἀριστογείτονος μέλλοντες φέρειν τὴν ψῆφον ἐλεεῖτε, ὃς τὸν αὐτοῦ πατέρα κακῶς διατιθέμενον ὑπὸ τοῦ λιμοῦ οὐκ ἠλέησεν; ἔπειτα παρ' ἡμῶν ἔτι λόγους ἀκούειν βούλεσθε περὶ τῆς Ἀριστογείτονος τιμήσεως, ὃν ἴστ' ἀκριβῶς ὅτι δικαίως ἂν καὶ ἐκ τοῦ ἄλλου βίου καὶ ἐκ τῶν νῦν αὐτῷ 20
12 *πεπραγμένων τῆς ἐσχάτης τύχοι τιμωρίας; οὐκ Ἀριστο-*

6 *κακούργοις*] v. Lipsius, A. R. 78. 320; Harrison, The Law of Athens 2, 17—18. 223—225. 231 ‖ **13** *ἐμπορ. ἐπιμ.*] v. Boeckh, Staatsh.[3] passim; G. Glotz, D. A. „epimelètai" (2, 673—674); Lipsius, A. R. 97—98; J. Oehler, RE VI 1, 1907, 165; Busolt-Swoboda, Gr. Staatsk. 1120; Harrison, The Law of Athens 2, 27 et passim

1 *αὐτοῦ* Wurm: *αὐτοὺς* codd. (*αὐτοὺς* sc. *τοὺς δεσμώτας* e *δεσμωτήριον* [p. 57, 20] Richards) ‖ **4** *ἔχειν διάνοιαν* **A**: del. Weidner ‖ **6** *ἀνθώπων* $\mathbf{A}^{pr}$ corr. $\mathbf{A}^{2}$ | *ἀπηγμένοις* Wurm: *ἀνηγμένοις* ‖ **7** *μηδ' ἐκεῖ* Dobr. (sive *μηδὲ* del. *ἐκείνοις*): *μηδ' ἐκείνοις* ‖ **10** *ἐξῆν*] *ἐνῆν* Fuhr[1] 54 n.: *ἦν* Bl. dubit. | *τοῦ* om. **A** ‖ **12** *τοῦθ'* $\mathbf{A}^{pr}$ corr. $\mathbf{A}^{1}$ | *ὅπερ* Bl. cl. p. 13, 8. 28, 16. 70, 1: *ἅπερ* ‖ **14** *ταύτην τὴν* Emper. Meier: *αὐτὴν τὴν* **N**: *τὴν αὐτὴν* **A**: *τοιαύτην* Bk. ‖ **17** *διαθέμενον* $\mathbf{A}^{pr}$ corr. $\mathbf{A}^{1}$ | *τοῦ λιμοῦ* $\mathbf{N}^{1}$ (*τοῦ λοιμοῦ* $\mathbf{N}^{pr}$ ut vid.): *λιμοῦ* **A**, cf. Thalheim, De Dinarchi codd. 12 ‖ **18** *ὑμῶν* $\mathbf{A}^{pr}$ corr. $\mathbf{A}^{2}$ ‖ **21** *τύχη* **A**

γείτων ἐστὶν ὦ Ἀθηναῖοι, ὁ κατὰ τῆς ἱερείας τῆς Ἀρτέ-
μιδος τῆς Β[ραυ]ρωνίας καὶ τῶν οἰκείων αὐτῆς τοιαῦτα
γράψας καὶ ψευσάμενος, ὥσθ' ὑμᾶς, ἐπειδὴ τὴν ἀλήθειαν
ἐπύθεσθε παρὰ τῶν κατηγόρων, πέντε ταλάντων τιμῆσαι
5 *τούτῳ, ὅσονπερ ἦν ἐπὶ τῇ τῶν παρανόμων γραφῇ τίμημ'*
ἐπιγεγραμμένον; ⌈οὐχ⌉ οὗτος, πρὶν ἐκτεῖσαι τοῦτο, συκο-
φαντῶν τὸν ἐντυγχάνονθ' ὑμῶν καὶ λέγων καὶ γράφων ἐν
τῷ δήμῳ διατετέλεκε, καὶ καταφρονῶν ἁπασῶν τῶν τιμω-
ριῶν αἳ κατὰ τῶν ἀδικούντων ἐν τοῖς νόμοις εἰσὶ γεγραμ-
10 *μέναι; οὐ τὸ τελευταῖον οὗτος ἐνδειχθεὶς ὑπὸ Λυκούργου* 13
καὶ ἐξελεγχθείς, ὀφείλων τῷ δημοσίῳ λέγειν οὐκ ἐξὸν
αὐτῷ, καὶ παραδοθεὶς τοῖς ἕνδεκα κατὰ τοὺς νόμους,
περιπατῶν ἔμπροσθεν τῶν δικαστηρίων ⟨. . . . .⟩ καὶ εἰς
τὴν προεδρίαν τῶν πρυτάνεων ἐκάθιζεν;
15 *Εἶτ' ὦ ἄνδρες Ἀθηναῖοι, ὃν οἱ νόμοι μὲν πολλάκις ὑμῖν* 14
παραδεδώκασι τιμωρήσασθαι, κατεψηφισμένον ⟨δ'⟩ ὑπὸ
τῶν πολιτῶν ⟨καὶ⟩ ⌈ἀπ⌉αχθέντ⌈α⌉ φυλάξαι {δ'} οὐθ' οἱ ἕν-
δεκα δεδύνηνται οὔτε τὸ δεσμωτήριον, τούτῳ βουλήσεσθε
συμβούλῳ χρῆσθαι; καὶ ὁ μὲν νόμος εὐξάμενον κελεύει τὸν
20 *κήρυκα μετ' εὐφημίας πολλῆς, οὕτως ὑμῖν τὸ βουλεύεσθαι*
περὶ τῶν πραγμάτων παραδιδόναι· ὑμεῖς δὲ τὸν ἀνόσιον
καὶ περὶ πάντας πονηρὸν καὶ μάλιστα περὶ τὸν ἑαυτοῦ
πατέρα γεγενημένον, τοῦτον μεθ' ὑμῶν καὶ μετὰ τῶν

4 *πέντε ταλάντων*] cf. Libanii argum. ad or. Demosth. 25 § 2 ‖ **10** *ὑπὸ Λυκ.*] v. Kirchner, P. A. 9251 et Lycurg. fr. II (Klio 39, 1961, 85—92)

2 *Βραυρωνίας* Markland: *βαυβρωνίας* ‖ **4** *τίμημα* ante *τιμῆσαι* add. **A**^{pr} quod punctis del. **A**^{1} ‖ **5** *τούτῳ* **N**: *τοῦτον* **A** ‖ **6** *ἐπι.......μένον* **A**^{pr} (*ἐπιτετιμημ.?*) corr. **A**^{1} | *οὐχ* Schmidt: *ὁ* codd.: ret. Bk., deleto *τοῦτο* auct. Ducas ‖ **13** post *δικαστηρίων* intercidisse *ὤφθη* vel *ἑωρᾶτο* vid. Rei. ‖ **14** *προεδρίαν* **A**^{2}: *-δρείαν* **NA**^{pr} | *τῶν* **A**: *τὴν* **N**: *τὴν τῶν* Bl. | *ἐγκαθίζων* Rei. ‖ **16** ⟨*δ'*⟩ h. l. Saup.: post *φυλάξαι* codd. ‖ **17** ⟨*καὶ*⟩ *ἀπαχθέντα* Saup.: *διδαχθέντες* codd.: *ἐνδειχθέντα* Ald.: *εἱρχθέντα* Emper. | *οἱ ἕν....* **N**^{pr} corr. **N**^{1} ‖ **19** *εὐξάμενος* **N** ‖ **20** *βουλεύεσθαι*] *βουλεσθ?* **A**^{pr} corr. **A**^{1}

ὑμετέρων οἰκείων καὶ συγγενῶν ἐάσετε πολιτεύεσθαι;
15 *καὶ Δημάδῃ μὲν καὶ Δημοσθένει οὐδεμίαν ᾤεσθε δεῖν*
συγγνώμην ἔχειν, ὅτι δῶρα καθ' ὑμῶν ἐξηλέγχθησαν λαμ-
βάνοντες, ἀλλ' ἐτιμωρήσασθε, καὶ δικαίως, οἷς εἰ μὴ
πάντ' ἀλλὰ πολλά γε συν⸢ῇ⸣στε χρήσιμα πεπολιτευμένοις· 5
τὸν δὲ κατάρατον τοῦτον, ὃς ἀγαθὸν μὲν ὑμᾶς οὐδὲ⟨ν⟩
p. 107 *πώποτε πεποίηκεν ἐξ οὗ πρὸς τὴν | πόλιν προσελήλυθε,*
κακὸν δ' ὅ τι δυνατός ἐστιν, ἀφήσετε; καὶ τίς οὐκ ἂν
ἐγκαλέσειεν ὑμῖν τοῖς τοῦτον προσδεχομένοις σύμβουλον;
ὅταν γὰρ ἄνθρωπος γνώριμο⸢ν⸣ καὶ φανερ⸢ὰν⸣ καὶ περι- 10
βόητον τὴν πονηρίαν παρὰ πᾶσι τοῖς πολίταις ἔχων ἐν
ὑμῖν δημηγορῇ, τότε τοὺς ἀκούοντας ὑμᾶς οἱ περιεστηκό-
τες θαυμά⸢ζ⸣ουσι, πότερα βελτίους οὐκ ἔχετε συμβούλους
16 *ἢ καὶ χαίρετε τῶν τοιούτων ἀκούοντες. χρὴ δ' ὦ Ἀθηναῖοι,*
ὥσπερ οἱ πρῶτοι νομοθέται περὶ τῶν ἐν τῷ δήμῳ λεγόν- 15
των τοῖς προγόνοις ἡμῶν ἐνομοθέτησαν, οὕτω καὶ ὑμᾶς
ζητεῖν ἀκούειν, ἵνα βελτίους τοὺς προσιόντας ὑμῖν ποιήση-
τε. πῶς οὖν ἐκεῖνοι περὶ τούτων ἐγίγνωσκον; πρῶτον μὲν
καθ' ἑκάστην ⟨ἐκκλησίαν⟩ δημοσίᾳ κατὰ τῶν πονηρῶν
ἀρὰς ποιούμενοι, εἴ τις δῶρα λαμβάνων ⸢μὴ⸣ ταὐτὰ λέγει 20
καὶ γιγνώσκει περὶ τῶν πραγμάτων, ἐξώλη τοῦτον εἶναι·
17 *ὧν οὗτος νῦν ἐστιν Ἀριστογείτων· ἔπειτ' ἐν τοῖς νόμοις*

2—3 cf. Hyper. 1, 25, 12ss. ‖ **22**ss. cf. p. 33, 13ss.

3 *ἐξελ.* **N** ‖ **4** *καὶ δικαίως*] cf. Gebauer, Lys. 502 ‖ **5** *συνῆστε* Hirschig: *σύνιστε,* cf. Demosth. 49, 46 | *πολιτευομένοις* **A** ‖ **6.7** *οὐδὲν πώποτε πεπ.* Wurm: *οὐδέποτε πεπ.* **N**: *πεπ. οὐδεπώποτε* **A** (*οὐδὲ πώποτε* edd. complures): *οὐδὲν οὐδεπώποτε* Bk.: *οὐδεπώποτε οὐδὲν* Sihler ‖ **7** *πόλιν* **NA** (Demosth. 58, 30 confert Maetz.): *πολιτείαν* ‖ **9** *τοῖς τοῦτον*] *τοιοῦτον* Sihler, fort. recte | *δεχομένοις* **A**; cf. p. 15, 13. 18, 8. 28, 11. 32, 2 (Thalh.) ‖ **10** *γνώριμον καὶ φανερὰν* Rei.: *γνώριμος καὶ φανερὸς* ‖ **11.12** *ἐν ὑμῖν* om. **A** ‖ **13** *θαυμάζουσι* **Z**: *-σουσι* | *πότερα* **N**: *-ρον* **A** ‖ **14** *τὸν τοιοῦτον* **N** ‖ **16** *ὑμῶν* **N** ‖ **17** *ποιήσετε* **N** ‖ **19** *καθ' ἑκάστην ⟨ἐκκλησίαν⟩* cum Dobr. Maetz. cl. p. 27, 3. 29, 1: *κατ' ἐκκλησίαν ἑκάστην* mal. Saup. | *δημοσίᾳ*] *κατὰ τῶν δημοσίαν* $\mathbf{A}^{pr}$ corr. $\mathbf{A}^{1}$ ‖ **19.20** *κατὰ τῶν πον. ἀρ. ποιούμ.* **N**: *ἀρ. ποιούμ. κ. τ. πον.* **A** ‖ **20** *μὴ ταὐτὰ* Bl. cl. Demosth. 18, 282 (Dinarch. p. 17, 19. 29, 3): *μετὰ ταῦτα* ‖ **22** *νόμοις* **NA**: *βωμοῖς* **MPZ**

δώρων γραφὰς ποιήσαντες, καὶ κατὰ μόνου τούτου τῶν ἀδικημάτων δεκαπλασίαν ἐπι{τι}θέντες τοῦ τιμήματος τὴν ἔκτεισιν, ἡγούμενοι τὸν τιμὴν λαμβάνοντα τῶν ἐν τῷ δήμῳ ῥηθήσεσθαι μελλόντων λόγων, τοῦτον οὐχ ὑπὲρ
5 *τῶν τοῦ δήμου βελτίστων ἀλλ' ὑπὲρ τῶν τοῖς δοῦσι συμφερόντων δημηγορεῖν· Ἀριστογείτονα τοίνυν ἡ βουλὴ ἀποπέφαγκε· πρὸς δὲ τούτοις ἀνακρίν⌈ο⌉ντες τοὺς τῶν κοινῶν τι μέλλοντας διοικεῖν, τίς ἐστ⌈ι⌉ τὸν ἴδιον τρόπον, εἰ γονέας εὖ ποιεῖ, εἰ τὰς στρατείας ὑπὲρ τῆς πόλεως ἐστράτευται,*
10 *εἰ ⌈ἠρία⌉ πατρῷ' ἔστιν, εἰ τὰ τέλη τελεῖ· ὧν οὐδὲν ἂν ἔχοι* 18 *δεῖξαι συμβεβηκὸς Ἀριστογείτων αὐτῷ. ἀντὶ μὲν γὰρ τοῦ γονέας εὖ ποιεῖν κακῶς οὗτος τὸν ἑαυτοῦ πατέρα πεποίηκεν· ὅτε δ' ὑμεῖς ἐστρατεύεσθε πάντες, οὗτος ἦν ἐν τῷ δεσμωτηρίῳ· τοσοῦτον δ' ἀπολέλοιπε τοῦ πατρὸς*
15 *μνῆμά τι ἔχειν ὃ Ἀθηναῖοι δεῖξαι, ὥστ' οὐδ' ἐν Ἐρετρίᾳ τοῦ πατρὸς αὐτοῦ τελευτήσαντος ἐκεῖ τὰ νομιζόμεν' ἐποίησεν αὐτῷ· τῶν δ' ἄλλων Ἀθηναίων εἰσφερόντων ἐκ τῶν ἰδίων, οὗτος οὐδὲ τῶν δημοσίων καὶ ὧν ὦφλεν τὸ ἀργύριον ἅπαν ἐκτέτεικεν. ἁπλῶς δ' εἰπεῖν, ἐναντία τοῖς νόμοις* 19
20 *ἅπασι πράττων διατετέλεκε, καὶ τοῦτον μόνον ἡ ἐξ Ἀρείου πάγου βουλὴ τοῖς ἐζητηκόσι καὶ εἰδόσιν ἀποπέφαγκεν· οὐ γὰρ παρ' ἐκείνης ὑμεῖς πυθόμενοι τοῦτον ἴστε πονηρὸν καὶ ἄδικον ὄντα, ἀλλ' ἕκαστος ὑμῶν ἀκριβῶς οἶδε τὴν τούτου πονηρίαν. ὥστε τὸ πολλάκις λεγόμενον ἀληθὲς*

1.2 *κατὰ μόνου τούτου τῶν ἀδ.*] sed cf. Arist. *Ἀθ. πολ.* 54 ‖ **8** ss. cf. Arist. *Ἀθ. πολ.* 55, 3 ss. ‖ **15** s. cf. [Demosth.] 25, 54

2 *ἐπιθέντες* Fuhr, Animadv. orat. att., 43: *ἐπιτιθέντες* | *τιμήματος*] *λήμματος* Bk. cl. p. 33, 19 „Sed h. l. *τίμημα* aestimatio litis ab accusatore facta esse videtur; cf. p. 59, 5; Demosth. 24, 114 *διπλάσιον ἀποδιδόναι τὸ τιμηθέν* (Hyper. 1, 24, 17—19?) Aliter sane Demosth. l. c. 82 s.“ Bl. ‖ **3** *ἔκτισιν* codd. ‖ **7** *ἀνακρίνοντες* Bl. cl. *ποιούμενοι* p. 60, 20: *ἀνακρίναντες* ‖ **8** *ἐστι* Rei.: *ἔσται* ‖ **10** *ἠρία* cum Vales. aliis; cf. **15** et Arist. *Ἀθ. πολ.* 55, 3: *ἱερὰ* (*τὰ ἱ.* A^pr ras. corr.) | *τελῆ* A^pr *τελεῖ* A^1 ‖ **11** *δεῖξαι* hic N, post *αὐτῷ* A | *τοῦ*] *τοὺς* A ‖ **16** *ἐκεῖ* del. Rosbg., fort. recte ‖ **18** *οὐδ' ἐκ* A | *τῷ δημοσίῳ ᾧ ὦφλε* Kohm^1 44 ‖ **19** *ἐκτέτικεν*, quod def. Herw., codd. ‖ **21** *τοῖς ἐξητακόσι* Naber ‖ **22** *ὑμῖν* A^pr corr. A^1

εἰπεῖν ἐστιν, ὅτι περὶ μὲν τούτου τὴν ψῆφον ὑμεῖς μέλλετε
φέρειν, περὶ δ' ὑμῶν οἱ περιεστηκότες καὶ οἱ ἄλλοι πάντες.
20 *Διὸ καὶ σωφρόνων ἐστὶ δικαστῶν ὦ Ἀθηναῖοι, μήθ'*
ὑμῖν αὐτοῖς ἐναντίαν ἐνεγκεῖν τὴν ψῆφον μήτε πᾶσι τοῖς
ἄλλοις Ἀθηναίοις, ἀλλ' ὁμοθυμαδὸν καταψηφισαμένους 5
πάντας παραδοῦναι τοῖς ἐπὶ τοῦτο τεταγμένοις θανάτῳ
ζημιῶσαι, καὶ μὴ προέσθαι ⌈μηδὲ⌉ προδοῦναι τὴν ⌈ὁσ⌉ίαν
καὶ τὴν εὔορκον ψῆφον, ἀναμνησθέντας ὅτι τούτου κατ-
έγνωκεν ἡ βουλὴ δῶρα λαμβάνειν καθ' ὑμῶν, τούτου
κατέγνωκεν ὁ πατὴρ καὶ ζῶν καὶ τελευτήσας ἀδικεῖν 10
ἑαυτόν, {καὶ} ἵνα τὸ πραότ⌈ατ⌉ον εἴπω τῶν ὀνομάτων,
τούτου καταχειροτονήσας ὁ δῆμος παραδέδωκεν ὑμῖν τι-
21 *μωρήσασθαι, οὗτος πολλὰ κακὰ διαπεπραγμένος ἐπὶ*
τοιούτοις εἴληπται πράγμασι νῦν ἀδικῶν, ἐφ' οἷς αἰσχρόν
ἐστιν ὑμῖν τοῖς δικάζουσιν ἀτιμώρητον ἐᾶσαι τοῦτον. τίνα 15
γὰρ τρόπον ὦ Ἀθηναῖοι περὶ τῶν ἄλλων ἀποφάσεων οἴσετε
τὴν ψῆφον; ἢ διὰ τίνας προφάσεις τῶν ἤδη κεκριμένων
ἔσεσθε κατεψηφισμένοι; ἢ διὰ τί τὸ μὲν ἀποφαίνειν τὴν
βουλὴν τοὺς εἰληφότας τὰ χρήματα φα⌈νεῖ⌉σθε σπουδάζον-
τες, τὸ δὲ τιμωρεῖσθαι τοὺς ἀποπεφασμένους ἐῶντες; μὴ 20
22 *γὰρ ἰδίους τοὺς ἀγῶνας τούτους ὑπολάβητ' εἶναι ⌈καὶ⌉ τῶν*
νῦν ἀποπεφασμένων μόνον, ἀλλὰ κοινοὺς καὶ {κατὰ} τῶν
ἄλλων ⌈ἀποφάσεων⌉. δωροδοκία γὰρ καὶ προδοσία κρινο-

12 *τούτου καταχειροτονήσας*] de *καταχειροτονία* v. Lipsius, A. R. 70ss. 215 n. 126; J. Oehler, RE X 2, 1919, 2450—2451; Harrison, The Law of Athens 2, 13. 60

2 *οἱ*^{2} A^{1s} ‖ **6** *παραδόναι* A^{pr} corr. A^{1} | ⟨*τοῦτον*⟩ *τοῖς* Schmidt | *τοῦτο* NA^{1}(B): *τούτῳ* A^{pr}(MPZ): *τοῦτον* vulg. ‖ **7** *μηδὲ προδ.* Bl.: *καὶ μὴ προδ.* codd., quod interpretamentum putat Maetz., def. Finke cl. p. 68, 15 | *ὁσίαν* Bk. cl. p. 53, 7 (Add.): *θείαν* codd.: *ἀλήθειαν* Emper. ‖ **8** *ἀναμνησθέντ.ς* A^{pr} corr. A^{1} ‖ **11** *καὶ* del. Emper. | *πραότατον* Rei.: *-τερον* ‖ **12** *παρέδωκεν* A ‖ **14** *νῦν* om. A^{pr} add. A^{1} ‖ **15** *ἐστι* N ‖ **17** *κεκριμέ.ων* N^{pr} corr. N^{1}; *κεκριμ-μένων* A^{pr} ras. corr. ‖ **18** *ἔσεσθαι* N^{pr} corr. N^{2} ‖ **19** *φανεῖσθε* Dobr.: *φαίνεσθε* (*φαίνεσθ.* N^{pr}) AN^{2} ‖ **21** *τοὺς* om. A | *ὑπολάβοιτε* A | *καὶ* Bl.: *κατὰ* codd.: ⟨*καὶ*⟩ *κατὰ* Bk. ‖ **22** *ἀποπ. μόνον* Rei.: *ἀποπ. μόνων* N: *μόνων ἀποπ.* A: *μόνων* del. Weidner ‖ **22—23** *τῶν ἄλλων ἀποφάσεων* Jo. Ebert: *κατὰ* (NA^{1}: *ἀπὸ* A^{pr}) *τῶν ἄλλων ἀνθρώπων* codd.: *κατὰ τῶν ἄλλων* Hirschig: *ἁπάντων* Bl. cl. p. 38, 17

μένη παρ' ὑμῖν δυοῖν θάτερον ἐκ τοῦ λοιποῦ χρόνου ποιήσει
τοὺς ἄλλους, ἢ χρήματα λαμβάνειν καθ' | ὑμῶν θαρροῦντας p. 108
ὡς οὐ δώσοντας δίκην, ἢ φοβεῖσθαι τὸ λαμβάνειν ὡς τῆς
τιμωρίας τοῖς ληφθεῖσιν ἀξίας γενησομένης τῶν ἀδικη-
5 μάτων. οὐκ ἴσθ' ὅτι καὶ νῦν ὁ φόβος ὁ παρ' ὑμῶν τοὺς 23
ὁρμῶντας ἐπὶ τὰ καθ' ὑμῶν ἥκοντα χρήματα {νῦν} ἀνείργει
καὶ ποιεῖ πολλάκις ἀπὸ τοῦ λήμματος ἀποστρέφειν, καὶ
τὸ ψήφισμα τοῦ δήμου, τὸ ζητεῖν τὴν βουλὴν περὶ τούτων
τῶν χρημάτων [προστάττον], οὐδὲ τοὺς κεκομικότας τὸ
10 χρυσίον εἰς τὴν χώραν ὁμολογεῖν πεποίηκε; καλῶς γὰρ 24
ὦ Ἀθηναῖοι καλῶς οἱ πρόγονοι περὶ τούτων ψηφισάμενοι
στήλην εἰς ἀκρόπολιν ἀνήνεγκαν, ὅτε φασὶν Ἄρθμιον τὸν
Πυθώνακτος τὸν Ζελείτην κομίσαι τὸ χρυσίον ⟨τὸ⟩ ἐκ
Μήδων ἐπὶ διαφθορᾷ τῶν Ἑλλήνων. πρὶν γὰρ λαβεῖν τινας
15 καὶ δοῦναι τοῦ τρόπου πεῖραν, φυγὴν τοῦ κομίσαντος τὸ
χρυσίον καταγνόντες ἐξήλασαν αὐτὸν ἐξ ἁπάσης τῆς χώ-
ρας. καὶ ταῦθ', ὥσπερ εἶπον, εἰς τὴν ἀκρόπολιν εἰς στήλην
χαλκῆν γράψαντες ἀνέθεσαν, παράδειγμ' ὑμῖν τοῖς ἐπι-
γιγνομένοις καθιστάντες, καὶ νομίζοντες τὸν ὁπωσοῦν
20 χρήματα λαμβάνοντα οὐχ ὑπὲρ τῆς πόλεως ἀλλ' ὑπὲρ τῶν
διδόντων βουλεύεσθαι. καὶ μόνῳ τούτῳ προσέγραψαν τὴν 25
αἰτίαν δι' ἣν ὁ δῆμος ἐξέβαλεν αὐτὸν ἐκ τῆς πόλεως,
γράψαντες διαρρήδην Ἄρθμιον τὸν Πυθώνακτος τὸν Ζελεί-

12 στήλην] cf. Demosth. 9, 41—42; 19, 271; Aeschin. 3, 258 et schol. ad loc.; Plut. Themist. 6, 4; Ael. Arist. (ὑπ. τ. τεττάρων) 2, 217, 21ss.; (Panath.) 1, 190, 14ss.; Harpocr. s. v. ἄτιμος; v. FGrHist 342 F 14; Chr. Habicht, Hermes 89, 1961, 18—19 et 23—25; R. Meiggs, The Athenian Empire, Oxford 1972, 508—512 | Ἄρθμιον] v. Judeich RE II 2, 1896, 1449; Kl. Pauly 1, 627

1 ἐκ NA^{pr} ἐπὶ A^2 || 4 τ.. ωρίας A^{pr} (τῆς iteraverat) corr. A^1 | γενησομένοις A^{pr} corr. A^1 || 5 οὐ ... (γὰρ?) ἴσθ' A^{pr} corr. A^1 || 6 ὑμῶν N | νῦν secl. Bk. || 9 προστάττον Rei.: πρός τ' αὐτὸν codd. || 12 ἀρίθμιον NA(B) || 13 ζελίτην A^{pr} corr. A^2 | τὸ add. Schmidt, cf. Demosth. et Aeschin. l. l. et p. 64, 2 || 17 ταῦθ'] τ... A^{pr} corr. A^1 || 18 ἐπιγενομένης A^{pr} ἐπιγινομένοις corr. A^1 || 23 ἀρίθμιον NA | ζελίτην A^{pr} corr. A^2

την πολέμιον εἶναι τοῦ δήμου καὶ τῶν συμμάχων, αὐτὸν καὶ γένος, καὶ φεύγειν Ἀθήνας, ὅτι τὸν ἐκ Μήδων χρυσὸν ἤγαγεν εἰς Πελοπόννησον. καίτοι εἰ τὸν ἐν Πελοποννήσῳ χρυσὸν ὁ δῆμος πολλῶν κακῶν αἴτιον ἡγεῖτο τοῖς Ἕλλησιν εἶναι, πῶς χρὴ ῥαθύμως ἔχειν ὁρῶντας ἐν ⌈αὐτῇ⌉ τῇ πόλει 5 *δωροδοκίαν γιγνομένην; καί μοι σκοπεῖτε ταύτην τὴν στήλην.*

ΣΤΗΛΗ

26 *Καίτοι ὦ Ἀθηναῖοι τί ἂν οἴεσθ' ἐκείνους τοὺς ἄνδρας ποιῆσαι λαβόντας ἢ στρατηγὸν ἢ ῥήτορα πολίτην ἑαυτῶν* 10 *δῶρα δεχόμενον ἐπὶ τοῖς τῆς πατρίδος συμφέρουσιν, οἳ τὸν ἀλλότριον καὶ τῷ γένει καὶ τῇ φύσει τῆς Ἑλλάδος ἄνθρωπον οὕτω δικαίως καὶ σωφρόνως ἐξήλασαν {ἐκ Πελοποννήσου πάσης}; τοιγάρτοι τῆς πόλεως καὶ τῶν προγόνων ἀξίως ἐκινδύνευσαν πρὸς τὸν βάρβαρον.* 15

ΛΕΙΠΕΙ

3 *εἰ. τὸν* una lit. erasa **N** ‖ **5** *αὐτῇ* Dobr., cf. p. 46, 14; Demosth. 19, 271: *ταύτῃ* ‖ **10** *ποιῆσαι* hic **N**: supra post *οἴεσθε* **A**; del. vid. Bl. cl. Demosth. 20, 34 ‖ **11** *τοῖς τῆς* **NA**: *τῆς* **BMZ** *τοῖς* **LP** ‖ **13.14** *ἐκ Πελοποννήσου πάσης* del. Bk., cf. Aeschin. 3, 259; *ἐξ Ἑλλάδος πάσης* mal. Schmidt. compluria deesse monuerunt Turr. alii, post *σωφρόνως* Emper. ‖ **15** *κατὰ ἀριστογείτονος* subicit **N**

3.

ΚΑΤΑ ΦΙΛΟΚΛΕΟΥΣ

Τί χρὴ λέγειν πρὸς τῶν θεῶν περὶ τοιούτων ἀνθρώπων, [ἢ] πῶς χρήσεσθε τῇ τούτου πονηρίᾳ, ὃς οὐχ ἅπαξ ἀλλὰ τρὶς ἐξεληλεγμένος ὑπὸ τῆς ἐξ Ἀρείου πάγου βουλῆς, ὡς 5 *ὑμεῖς ἅπαντες ἴστε καὶ νῦν ἐν τῷ δήμῳ ἠκούετε, καὶ ἐψευσμένος ἁπάντων Ἀθηναίων ἐναντίον καὶ τῶν περιεστηκότων, φάσκων κωλύσειν Ἅρπαλον εἰς τὸν Πειραιᾶ καταπλεῦσ[αι], στρατηγὸς ὑφ' ὑμῶν ἐπὶ τὴν Μουνιχίαν καὶ τὰ νεώρια κεχειροτονημένος, καὶ δῶρα τολμήσας* 2 10 *λαβεῖν κατὰ πάντων ὑμῶν καὶ τῆς χώρας καὶ παίδων καὶ γυναικῶν, καὶ ἐπιωρκηκὼς ὃν ὤμοσεν ὅρκον μεταξὺ τοῦ ἕδους καὶ τῆς τραπέζης, καὶ γράψας καθ' ἑαυτοῦ ψήφισμα καὶ θανάτου τιμησάμενος ἐὰν εἰλήφ[η] τι τῶν χρημάτων ὧν Ἅρπαλος εἰς τὴν χώραν ἐκόμισεν, ὅμως ἐτόλμη-* 3 15 *σεν εἰς τοὺς εἰδότας ὑμᾶς ἐξεληλεγμένον ἑαυτὸν ἅπασι τούτοις ἔνοχον γεγενημένον ἐλθεῖν καὶ δεῖξαι ἑαυτόν, οὐ τῷ δικαίῳ πιστεύων ὦ Ἀθηναῖοι — τί γὰρ τούτῳ δικαιοσύνης μέτεστιν; — ἀλλὰ τῇ τόλμῃ καὶ τῇ ἀναιδείᾳ, ᾗ χρώ-*

1 *Κατὰ Φιλοκλ.*] de oratione v. Schäfer, Demosth.[2] 3, 346—348; Blass 315—318; Pélékidis, Hist. éph. att., 136—138 „apocryphe"; contra dixit Goldstein, The Letters of Demosth., 276—277. de Philocle v. Kirchner, P. A. 14521; J. Sundwall, Epigr. Beitr., Leipzig 1906, 25; G. Mathieu, Notes sur Athènes à la veille de la guerre Lamiaque, RPh 55, 1929, 162—164; P. Treves, RE XIX 2, 1938, 2489—2491 (Philokles nr. 4); Pélékidis, l. l.; Goldstein, op. cit., 276—281; Davies, APF 539—541; O. W. Reinmuth, The Ephebic inscriptions of the fourth c. B. C., Leiden 1971, 67—68; 73—76 || **9** *κεχειρ.*] a. 325/4, v. Mathieu, l. l. 162 a quo dissentit Pélékidis, op. cit., 136—137

2 *τῶν* in ras. A^1 | *τοιούτον ἀνθρώπον* A, cf. p. 71, 13 s. || **3** *ἢ πῶς* Bk.: *ὅπως*, cf. p. 49, 19 || **4** *ἐληλεγμένος* N | *ἐξ* om. N || **5** *ἐν τῷ δήμῳ ἠκ.* (hiat.)] fort. *ἐνταῦθ' ἡμῶν ἀκούετε* Bl. | *καὶ*[2] delere mal. Rei. || **6** *ἐναντίον καὶ* in ras. A^1 || **8** *καταπλεῦσαι* Bk.: *-πλεύσειν* | *Μουνιχίαν* Bl.: *μουνυχίαν* hic et p. 68, 2 codd. || **9** *κεχειροτηνημένος* A^{pr} corr. A^1 || **11** *ἐπιορκηκὼς* A^{pr} corr. A^2 || **13** *τιμωρησάμενος* apogr. Ald. | *εἰλήφῃ* Bk.: *εἴληφε* codd. | *ἑαυτῷ εἰ εἴληφε* Maetz.: *εἰληφώς τι ληφθῇ* cl. p. 26, 12 s. Dobr.: *φανῇ εἰληφώς τι* Kontos (*Λόγ. Ἑρμ.* 1, 1867, 483); cf. etiam p. 11, 3. 50, 20 || **15** *εἰς τοὺς εἰδότας* in ras. A^1 || **17** *ὦ Ἀθ.* om. A || **18** *καὶ τῇ* A^2: *τῇ* NA^{pr}

μενος πρότερον μὲν ἠξίωσε καταφρονήσας ὑμῶν καὶ τῶν
ἐν τῇ πόλει δικαίων τὰ χρήματα λαβεῖν, νυνὶ δ' ἀπολο-
γησόμενος ἥκει ὡς οὐδὲν τούτων διαπέπρακται· τοσοῦ-
4 τον τῆς ὑμετέρας ῥᾳθυμίας καταπεφρόνηκε. καὶ ὁ μὲν
κοινὸς τῆς πόλεως νόμος, ἐάν τις ⌈εἰς ἕνα τινὰ⌉ τῶν πολι- 5
p. 109 τῶν ὁμολογήσας τι | παραβῇ, τοῦτον ἔνοχον εἶναι κελεύει
τῷ ἀδικεῖν· ὁ δὲ πάντας Ἀθηναίους ἐξηπατηκώς, καὶ
προδοὺς τὴν πίστιν ἣν παρ' ὑμῶν οὐκ ἄξιος ὢν ἔλαβε,
καὶ τὸ καθ' αὑτὸν μέρος ἅπαντ' ἀνατετρ⌈ο⌉φὼς τὰ ἐν τῇ
πόλει, οὗτος ἐπὶ τὴν ἀπολογίαν ἥκειν φήσει τὴν ὑπὲρ τῆς 10
5 αἰτίας τῆς εἰς αὑτὸν γεγενημένης; ἐγὼ δ' ὦ ἄνδρες, εἰ
δεῖ τἀληθῆ λέγειν — δεῖ δέ —, οὐ{δὲ} τὰς ἀποφάσεις
οἶμαι νῦν κρίνεσθαι, πότερον ἀληθεῖς εἰσιν ἢ ψευδεῖς αἱ
κατὰ Φιλοκλέους γεγενημέναι, ἀλλὰ περὶ ⌈μόνης⌉ τῆς τι-
μωρίας ὑμᾶς δεῖν τῆς ἐν τῷ ψηφίσματι γεγραμμένης δι- 15
κάσαι νῦν, πότερα δεῖ χρημάτων τιμῆσαι τῷ τηλικαῦτ'
ἠδικηκότι τὴν πόλιν, ἢ θανάτῳ ζημιώσαντας, ὥσπερ
οὗτος ἔγραψεν ἐν τῷ ψηφίσματι καθ' αὑτοῦ, {ἢ} δημεῦσαι
τὴν οὐσίαν τὴν ἐκ τοιούτων λημμάτων συνειλεγμένην.
6 Οἴεσθε τοῦτον νῦν πρῶτον ἐπὶ τούτων τῶν χρημάτων 20
πονηρὸν γεγενῆσθαι, ἢ νῦν πρῶτον καθ' ὑμῶν δῶρ' εἰλη-
φέναι; οὐκ ἔστι ταῦτα, ἀλλὰ πάλαι τοιοῦτος ὢν ἐλάνθανεν
ὑμᾶς, καὶ ⌈ηὐτυχήκαθ' ὅτι⌉ οὐκ ἐν μείζοσι καιροῖς ἐπύ-

23 Suda π **3173** ... ἐπὶ τοῦ ἀκούειν κεῖται τὸ πυνθάνεσθαι. καὶ Αἰσχίνης ... καὶ Δείναρχος ἐν τῷ Κατὰ Φιλοκλέους· εὐτυχεῖτε, ὅτι οὐκ ἐν μείζονι καιρῷ ἐπύθεσθε τὴν αὐτοῦ αἰσχροκέρδειαν ...

3 ἥκειν Bl. propter hiat. ‖ **4** καταπεφρονηκώς Naber ‖ **5** εἰς ἕνα τινὰ H. Lloyd-Jones cl. P. Antinoopolis 81, 4—5 (vol. II p. 70) ἐὰν εἰς ἕνα τῷ[ν πο]|λιτῶν ὁμολογήσ̣[ας τις] κτέ.: ἐναντίον codd.: ἑνί τινι Lipsius: ⟨ἑνὸς⟩ ἐναντίον Bl. (iam ἐναντίον ἑνὸς Bake) ‖ **6** εἶναι ἔνοχον **Π** ‖ **9** καθ' αὐτὸν (i. e. αὑτὸν) codd.:]εα[υτον **Π** | ἀνατετραφὼς codd., cf. ad p. 22, 14 ‖ **11** αὑτὸν Turr.: αὐτὸν | ὦ ἄνδρες **A**: ὦ ἀθηναῖοι **N** (hiat.): ὦ ἄ. Ἀθ.? Kohm[1] 38 ‖ **12** οὐ Maetz.: οὐδὲ ‖ **13** πρότερον $\mathbf{A}^{pr}$ corr. $\mathbf{A}^{1}$ ‖ **14** μόνης auct. Rei. Turr.: μὲν ‖ **15** δεῖν **N** $\mathbf{A}^{1}$: δεῖ $\mathbf{A}^{pr}$ | τοῖς ... γεγραμμένοις $\mathbf{A}^{pr}$ corr. $\mathbf{A}^{2}$ ‖ **17** τὴν πόλιν om. $\mathbf{A}^{pr}$ add. $\mathbf{A}^{1}$ ‖ **18** ἢ del. Rei. ‖ **19** τούτων $\mathbf{A}^{pr}$ corr. $\mathbf{A}^{1}$ ‖ **23** ηὐτυχήκαθ' ὅτι Vogel: ηὐτύχει (εὐτ. **N**) καθότι codd.: εὐτυχεῖτε ὅτι Suda (π **3173** πυνθάνεσθαι): ηὐτυχεῖτε (εὐτ. Maetz.) καθότι Rei. | μείζονι καιρῷ (hiat.) Suda

θεσθε τὴν αἰσχροκέρδειαν αὐτοῦ· οὐ γάρ ἐστι χαλεπώτε-
ρον ἀνθρώπου τὴν αὑτοῦ πονηρίαν ἀγνοουμένην ἔχοντος.
οὐκ ἀποκτενεῖτ' ὦ Ἀθηναῖοι πάντες ὁμοθυμαδὸν τὸν εἰς 7
τοσαύτην αἰσχύνην καὶ ἀδικίαν πολλοὺς τῶν πολιτῶν ἐμ-
5 *βεβληκότα, τὸν ἀρχηγὸν γενόμενον τοῦ διαδεδομένου χρυ-*
σίου καὶ εἰς αἰτίαν καθισ⟨τ⟩άντα πᾶσαν τὴν πόλιν; ἀλλ'
ὑπομενεῖτ' ἀκούειν τοῦ τοσαῦτα διαπεπραγμένου καθ'
ὑμῶν, ὡς {ὅτι} ⟨ἄρα⟩ τὸ συνέδριον τὸ ἐν Ἀρείῳ πάγῳ
ψευδεῖς πεποίηται τὰς ἀποφάσεις, καὶ ὡς αὐτὸς μὲν δί-
10 *καιος καὶ χρηστὸς καὶ ἀδωροδόκητός ἐστιν, ἡ δ' ἐξ Ἀρείου*
πάγου βουλὴ ταῦτα πάντα προεῖται χάριτος ἢ λημμάτων
ἕνεκα; ἆρ' ἴσθ' ὅτι ἐπὶ μὲν τῶν ἄλλων ἀδικημάτων σκεψα- 8
μένους ἀκριβῶς δεῖ μεθ' ἡσυχίας καὶ τἀληθὲς ἐξετάσαν-
τας, οὕτως ἐπιτιθέναι τοῖς ἠδικηκόσι τὴν τιμωρίαν, ἐπὶ
15 *δὲ ταῖς φανεραῖς καὶ παρὰ πάντων ὡμολογημέναις προ-*
δοσίαις πρώτ⸢ην⸣ τετάχθαι τὴν ὀργὴν καὶ τὴν μετ' αὐ-
τῆ⸢ς⸣ γιγνομένην τιμωρίαν; τί γὰρ τοῦτον οὐκ ἂν οἴεσθ' 9
ἀποδόσθαι τῶν ἐν τῇ πόλει σπουδαιοτάτων, ὅταν ὑμεῖς ὡς
πιστὸν αὐτὸν καὶ δίκαιον φύλακα καταστήσητε; ποίας
20 *οὐκ ἂν προδοῦναι τριήρεις τῶν ἐν τοῖς νεωρίοις; ἢ τίνος*
ἂν φροντίσαι φυλακῆς, λήσειν ἐλπίσαντα καὶ λήψεσθαι
διπλάσιον οὗ νῦν εἴληφε χρυσίου; οὐδὲν ὅ τι οὐκ ἂν ὁ
τοιοῦτος ὦ ἄνδρες ποιήσειεν. ὅστις γὰρ ἀργύριον καὶ 10
χρυσίον περὶ πλείονος τῆς πρὸς ὑμᾶς πίστεως ⸢ἡγ⸣εῖται,
25 *καὶ μήθ' ὅρκου μήτ' αἰσχύνης μήτε ⟨τοῦ⟩ δικαίου πλείω*

1 *τὴν αὐτοῦ αἰσχρ.* Suda ‖ **2** *τὴν αὑτοῦ* N^2: *τὴν αὐτὴν* N^{pr}**A**: *τοιαύτην* Schmidt (*αὐτὴν* del. Maetz.) ‖ **4** *το ... την* N^{pr} corr. N^1 | *ἀδικίαν*] *ἀτυχίαν* ci. Schmidt: *ἀδοξίαν* susp. Maetz. cl. p. 46, 10 | *τῶν πολιτῶν* om. **A** ‖ **5** *διαδεδομένου* **N A** (**M**): *διαδεχομένου* vulg. ‖ **6** *καθιστάντα* Steph. Scal.: *καθίσαντα* ‖ **7** *ὑ..νεῖτε* N^{pr} corr. N^2 ‖ **8** *ὡς {ὅτι} ⟨ἄρα⟩ τὸ* Thalh.: *ὅτι* auct. Ducas del. Maetz.: *{ὡς} ὅτι τὸ* Turr. ‖ **11** *λήμματος* **A** ‖ **12** *ἄριστε* N^{pr} corr. N^2 ‖ **16** *πρώ-την* Rei.: *πρῶτον* | *αὐτῆς* auct. Bk. Turr.: *αὐτὴν* ‖ **19** *κατα-στήσητε* (*-σητε* e corr.) **A**: *-σετε* $A^{pr}N^1$ (*καταστή ... τε* N^{pr}) ‖ **21** *λήψεσθαι* N^2A^2: *-σθε* $N^{pr}A^{pr}$ ‖ **22** *..ιπλάσιον* A^{pr} corr. A^1 (fort. *οὗ* sec. Thalh.) | *χρυσίον* Hertlein ‖ **24** *ἡγεῖται* Rei.: *αἱρεῖται* codd.: *ποιεῖται*, quod deinde ut glossema inducit, Maetz. ‖ **25** *τοῦ* add. Bl.

λόγον ἢ τοῦ λαμβάνειν ποιεῖται, οὗτος ἀποδώσεται τὸ
καθ᾿ ἑαυτὸν τὴν Μουνιχίαν, ἂν ἔχῃ τὸν ὠνησόμενον, οὗτος
ἐξαγγελεῖ τοῖς πολεμίοις σύνθημα φήνας καθ᾿ ὑμῶν,
οὗτος προδώσει τὴν πεζὴν καὶ ναυτικὴν δύναμιν.

11 *Μὴ οὖν ὦ Ἀθηναῖοι τὴν τίμησιν ὑπὲρ τῶν γεγενημένων* 5
μόνον ὑπὸ Φιλοκλέους ἀδικημάτων ἡγεῖσθε μέλλειν ποιεῖ-
σθαι, ἀλλὰ καὶ ὑπὲρ τῶν ἄλλων ὧν ἂν ἔπραξεν οὗτος
κύριος γενόμενος. καὶ τοῖς μὲν θεοῖς ἔχετε χάριν ὑπὲρ
τοῦ μὴ παθεῖν τι μεῖζον ὑπὸ τούτου δεινόν, ἐγνωκότες
τοῦτον οἷός ἐστιν, ἀξίως δ᾿ ὑμῶν αὐτῶν καὶ τῆς τοῦ κρινο- 10
12 *μένου πονηρίας κολάσατ᾿ αὐτόν· ὃς ὦ Ἀθηναῖοι τρὶς μὲν ἢ*
τετράκις ἱππαρχηκὼς ἀνδρῶν καλῶν κἀγαθῶν, πλεονάκις
δ᾿ ἢ δεκάκις στρατηγὸς ὑφ᾿ ὑμῶν κεχειροτονημένος οὐκ
ἄξιος ὤν, τιμώμενος καὶ ζηλούμενος διὰ τὴν πρὸς ὑμᾶς
πίστιν, ἀπέδοτο καὶ προέδωκε τὸ τῆς ⌈ὑ⌉μετέρας ἡγεμο- 15
νίας ἀξίωμα, καὶ εἰς τὸ αὐτὸ κατέστησεν ἑαυτὸν Ἀριστο-
γείτονι, καὶ μισθωτὸν καὶ προδότην ἀντὶ στρατηγοῦ
13 *ἐποίησεν. ἔπειθ᾿ ὑποστείλασθαί τι δεῖ πρὸς τὸν τοιοῦτον*
ὑμ⌈ᾶς⌉ καὶ αἰσχυνθῆναι, τοὺς ἠδικημένους, ὃς οὐκ ᾐσχύν-
θη τοιαῦτα πράττων καθ᾿ ὑμῶν καὶ τῶν ἄλλων; οὐχ οἱ 20
τοιοῦτοι τῶν ἀνθρώπων ἐλεοῖντ᾿ ἂν εἰκότως παρ᾿ ὑμῖν ὦ
Ἀθηναῖοι· πολλοῦ γε καὶ δεῖ· ἀλλ᾿ οἱ προδοθέντες ἂν ὑπὸ
p. 110 *Φιλοκλέους, εἴ τιν᾿ οὗτος | παρέλαβε καιρόν· ἐν οἷς καὶ ἡ*
Ἀκτὴ καὶ οἱ λιμένες εἰσὶ καὶ τὰ νεώρια, ἃ οἱ πρόγονοι
14 *χρημάτων πολλῶν ὑμῖν κατασκευάσαντες κατέλιπον. ὧν* 25
ἀναμιμνησκομένους ὑμᾶς ὦ Ἀθηναῖοι δεῖ μὴ παρέργως

5 *τὴν τίμησιν*] in mg. *ἤγουν τὴν τιμωρίαν* N^2

1 *ἀποδόσεται* A^{pr} corr. A^2 ‖ **3** *ἐξαγγελεῖ* N^1 (potius quam N^2) A^2: *-γγέλλει* $N^{pr}A^{pr}$ | *καθ᾿ ὑμῶν φήνας* A ‖ **4** *τὴν* om. N | *πεζικὴν* A ‖ **7** *ἂν ἔπραξεν* A^2(B): *ἔπραξεν* NA^{pr}(MZ): *ἔπραξεν ἂν* vulg. ‖ **9** *παθεῖν* ⟨*ἂν*⟩ putat Bl. ‖ **11** *κολάσατε* NA: *-σετε* A^{pr} apogr. | *μὲν* om. A ‖ **13** *δ᾿* om. A^{pr} add. A^1; *δ᾿ ἢ* in ras. spatio largo N ‖ **14** *ζητούμενος* A^{pr} corr. A^1 ‖ **15** *ὑμετέρας ἡγεμ.* Bl.: *ἡμ. ἡγεμ.* N: *ἡγεμ. ἡμῶν* A: *ἡγεμ. ὑμῶν* mal. Saup. ‖ **19** *ὑμᾶς* Rei.: *ὑμῖν* codd.: *ὑμῖν ... τοῖς ἠδικημένοις* Emper. | *αἰσχύνθη* A^{pr} corr. A^2 ‖ **25** *χρημάτων πολλῶν* post *οἱ πρόγονοι* trp. Bl., legebantur post *καιρὸν* (vs. 23); lac. post *χρημ. π.* stat. Bake | *κατασκ. ὑμῖν* N | *ἀπέλιπον* A^{pr} corr. A^1: *κατέλ.πον* N^{pr} corr. N^1

ἔχειν πρὸς τὰς ὑπὸ τῆς βουλῆς γεγενημένας ἀποφάσεις, ἀλλ' ἀκολούθως ταῖς πρότερον κεκριμέναις ⟨. . . . .⟩· *αἰσχρὸν γὰρ ἀπειπεῖν τιμωρουμένους ἐστὶ τοὺς προδότας τῆς πόλεως γεγενημένους, καὶ ὑπολείπεσθαί τινας τῶν*
5 *ἀδίκων καὶ πονηρῶν ἀνθρώπων, ὅθ' οἱ θεοὶ φανεροὺς ὑμῖν ποιήσαντες παρέδοσαν τιμωρήσασθαι, ἑορακότες τὸν δῆμον ἅπαντα κατήγορον τούτου γεγενημένον καὶ προκεχειρικότα πρῶτον τῶν ἄλλων ἐπὶ τὸ τὴν τιμωρίαν ἐν ὑμῖν δοῦναι.*

10 *Ἀλλ' ἔγωγε νὴ τὸν Δία τὸν σωτῆρα αἰσχύνομαι, εἰ προ-* 15 *τραπέντας ὑμᾶς δεῖ καὶ παροξυνθέντας ὑφ' ἡμῶν ἐπὶ τὴν τοῦ νῦν ⸢εἰσεληλυθ⸣ότος τὴν κρίσιν τιμωρίαν ἐλθεῖν.* {*καὶ*} *οὐκ αὐτόπται ἐστὲ τῶν ὑπὸ τούτου γεγενημένων ἀδικημάτων; καὶ ὁ μὲν δῆμος ἅπας οὔτ' ἀσφαλὲς οὔτε δίκαιον*
15 *νομίζων εἶναι παρακαταθέσθαι τοὺς ἑαυτοῦ παῖδας, ἀπεχειροτόνησεν αὐτὸν ἀπὸ τῆς τῶν ἐφήβων ἐπιμελείας· ὑμεῖς δ' οἱ τῆς δημοκρατίας καὶ τῶν νόμων φύλακες, οὓς* 16 *ἡ τύχη καὶ ὁ κλῆρος ὑπὲρ τοῦ δήμου δικάσοντας* ⟨. . . . .⟩ *ἐπέτρεψεν, φείσεσθε τοῦ τοιαῦτα διαπεπραγμένου, καὶ τὸ*
20 *πέρας ἔχοντες ἁπάντων τῶν ἐν τῇ πόλει δικαίων, ἀτιμώρητον ἀφήσετε τὸν δωροδόκον καὶ πάντων τῶν γεγενη-*

14 ss. cf. Wilamowitz, Arist. u. Ath., 193 n. 11 a quo dissentit Pélékidis, op. cit., 132—138; v. et. Goldstein, op. cit., 277—278

2 „post *κεκριμέναις* deesse vid. *καὶ ταύτην κρίνειν*" Bl. ‖ **6** *ποιήσαντες αὐτοὺς* mal. Maetz. | *ἑορακότες* Bl.: *ἑωρακότες* codd.: *ἑωρακότας* Steph. ‖ **7** *προκεχειρικότα* **A** (ras. corr.) **B**: *-ρηκότα* **N** **A**pr: *προκεχειροτονηκότα* Bake ‖ **8** *τὸ* **N**: *τῷ* **A** ‖ **11** *ὑμᾶς* et *καὶ* om. **A**pr add. **A**1 | *δεῖν* **N** **A**pr (ras. corr.) | *ἡμῶν* **A**1: *ὑμῶν* **N** **A**pr | *τὴν*] *τοῦ* **A**pr corr. **A**1 ‖ **12** *εἰσεληλυθότος τὴν κρίσιν* cl. Demosth. 18, 103. 21, 6 Bl. (*εἰσελ.* {*τὴν κρίσιν*} ci. Maetz.): *ἐκλελοιπότος τὴν κρίσιν* **N** **A**: *ἐληλυθότος ἐς τ. κρ.* ci. Saup. | *καὶ* del. Bait. ‖ **13** *οὐ κατόπται* **N**: *καὶ γὰρ αὐτόπται* Ducas | *ἀδικημάτων;* Bait.: *ἀδικημάτων* ‖ **14.15** *δίκαιόν ἐστι νομίζων* **A**pr**N**pr: *ἐστι* in utroque erasum ‖ **15** *παρακαταθέσθαι αὐτῷ* mal. Rei. ‖ **17** *οἷς* Rei. ‖ **18** *καὶ ὁ δῆμος ὑπὲρ κλήρου* **A**pr corr. **A**1; *τοῦ* add. **A**2, om. etiam **N** | *δικάσαι* Ducas: *οἷς ... {δικάσ.}* Wurm: post *δικάσοντας* lac. indic. Bl. ‖ **19** *ἐπέτρεψαν* Ducas: *ἐπέστησε* (i. e. *οὓς ... δικάσοντας ἐπ.*) Rei.; alii alia | *φείσασθε* **A**pr corr. **A**1 | *τοιαῦτα* **N** **A**: *τὰ τ.* cett. ‖ **20** *τῶν ἐν τῇ πόλει ἁπάντων* **A**

μένων κακῶν αἴτιον, ὅς, ὅπερ καὶ μικρῷ πρότερον εἶπον, μόνος τῶν πονηρῶν πάντων τρίς, οὐχ ἅπαξ, ἀποπέφανται, κ⌈ἂν⌉ τρὶς ἤδη δικαίως ἐζημιωμένος θανάτῳ κατὰ τὸ
17 *ἑαυτοῦ ψήφισμα. τί οὖν ἀναμενεῖτ' ὦ Ἀθηναῖοι; καὶ ποῖ' ἀδικήματα ζητεῖθ' ἕτερα μείζω τῶν εἰρημένων ἀκοῦσαι;* 5 *οὐχ ὑμεῖς ἐστε καὶ οἱ ὑμέτεροι πρόγονοι, οἱ Τιμοθέῳ Πελοπόννησον περιπλεύσαντι καὶ τὴν ἐν Κερκύρᾳ ναυμαχίαν Λακεδαιμονίους νικήσαντι καὶ Κόνωνος υἱεῖ τοῦ τοὺς Ἕλληνας ἐλευθερώσαντος καὶ Σάμον λαβόντι καὶ Μεθώνην καὶ Πύδναν καὶ Ποτείδαιαν καὶ πρὸς ταύταις* 10 *ἑτέρας εἴκοσι πόλεις, οὐδὲν τούτων ὑπόλογον ποιησάμενοι, οὐδὲ τῆς τότ' ἐνεστώσης κρίσεως καὶ τῶν ὅρκων, οὓς ὀμωμοκότες φέρετε τὴν ψῆφον, ἀντικαταλλαξάμενοι τὰς τηλικαύτας εὐεργεσίας, ἀλλ' ἑκατὸν ταλάντων τιμήσαντες, ὅτι χρήματ' αὐτὸν Ἀριστοφῶν ἔφη⟨νε⟩ παρὰ Χίων* 15
18 *εἰληφέναι καὶ Ῥοδίων; τὸν δὲ μιαρὸν ἄνθρωπον καὶ προδότην, ὃν οὐχ εἷς ἀνὴρ ἀλλὰ πᾶσ' ἡ ἐξ Ἀρείου πάγου βουλὴ ζητήσασ' ἀποπέφαγκε χρήματ' ἔχειν καθ' ὑμῶν, ὃς οὐσίαν ἔχων πολλὴν καὶ παίδων ἀρρένων οὐκ ὄντων αὐτῷ, καὶ οὐδενὸς ἄλλου δεόμενος ὧν ⟨ἂν⟩ ἄνθρωπος μέτριος* 20 *δεηθείη, οὐκ ἀπέσχετο χρημάτων διδομένων κατὰ τῆς πατρίδος, οὐδ' ἀπεκρύψατο τὴν ἔμφυτον πονηρίαν, ἀλλ' ἀνεῖλε πᾶσαν τὴν γεγενημένην αὐτῷ πρὸς ὑμᾶς πίστιν, καὶ*

6 *οὐχ ὑμεῖς κτέ.*] cf. supra p. 16, 6 ss.

3 *κἂν* Saup.: *καὶ* codd.; *ἂν* post *δικαίως* add. Rei. | *ἤδη*] *ἦν ἂν* Richards. lacunam post *δικαίως* cum Rei. indic. Thalh., qui *ἂν ἀπώλετο* vel aliquid simile add. ‖ **8** *τοῦ* add. **A**² ‖ **9** *ἐλευθερώσαντος* **A**²: *-σαντι* **NA**^pr | *λαβόντι* **NA**^pr: *λαβόντος* **A**² (sicut p. 16, 9) cett. ‖ **10** *Ποτείδ.* Bl.: *ποτίδ.* codd. ‖ **11** *οὐδένα τούτων* Ddf. in Steph. Thes. s. v. *ὑπόλογος* (*οὐκ* or. 1 p. 16, 11) | *ὑπὸ λόγον* codd. ‖ **12** *καὶ*] *οὐδὲ* or. 1 p. 16, 12 | *ὅρκον* **A**^pr corr. **A**¹ ‖ **13** *φέρετε* **NA(BP)**: *ἐφέρετε* (sicut exstat or. 1) ‖ **14** *εὐεργεσίας*] *ἐργασίας* **N** ‖ **15** *ἔφηνε* Naber: *ἔφη* ‖ **16** *ἄνων* i. e. *ἀνθρώπων* **A**^pr corr. **A**² ‖ **17–18** vv. *ὃν οὐχ … καθ' ὑμῶν* item leguntur **1**, 15 ‖ **17** *πάγου* om. **A**^pr add. **A**¹ ‖ **19** *πολὺν* **A**^pr corr. **A**² | *οὐκ* susp. Davies, APF 540–541 | *αὑτῷ* Bk. ‖ **20** *ἂν* auct. Bk. et Dobr. add. Turr.

οἷς πρότερον ἔφη διαφέρεσθαι, πρὸς τούτους ἔταξεν αὐτόν, καὶ ἐξήλεγξεν αὐτοῦ τὴν προσποίητον καλοκαγαθίαν ὅτι ψευδὴς ἦν.

Ἃ χρὴ λογισαμένους ὑμᾶς πάντας ὦ Ἀθηναῖοι, καὶ τῶν 19
5 *παρόντων καιρῶν ἀναμνησθέντας, οἳ πίστεως οὐ δωροδοκίας δέονται, μισεῖν τοὺς πονηρούς, ἀνελεῖν ἐκ τῆς πόλεως τὰ τοιαῦτα θηρία, καὶ δεῖξαι πᾶσιν ἀνθρώποις, ὅτι οὐ συνδιέφθαρται τὸ τοῦ δήμου πλῆθος τῶν ῥητόρων καὶ τῶν στρατηγῶν τισιν, οὐδὲ δουλεύει ταῖς δόξαις,*
10 *εἰδότας ὅτι μετὰ μὲν δικαιοσύνης καὶ τῆς πρὸς ἀλλήλους ὁμονοίας ῥᾳδίως ἀμυνούμεθα, θεῶν ἵλεων ὄντων, ἐάν τινες ἡμῖν ἀδίκως ἐπιτίθωνται, μετὰ δὲ δωροδοκίας καὶ προδοσίας καὶ τῶν ὁμοίων τούτοις κακῶν, ἃ τοῖς τοιούτοις ἀνθρώποις πρόσεστιν, οὐδεμί⌈ʼ ἂν⌉ πόλις σωθείη. μηδε-* 20
15 *μίαν οὖν δέησιν ὦ Ἀθηναῖοι μηδʼ ἔλεον ⟨. . . . .⟩ εἰς ὑμᾶς λαμβάνοντες αὐτούς, μηδὲ τὴν ἐξ αὐτῶν τῶν ἔργων καὶ τῆς ἀληθείας ἀποδεδειγμένην ὑμῖν κατὰ τῶν κρινομένων ἀδικίαν ⟨. . . . . .⟩ ἄκυρον ποιήσαντες, βοηθήσατε κοινῇ τῇ πατρίδι καὶ τοῖς νόμοις· ταῦτα | γὰρ ἀμφότερα* p. 111
20 *διαδικάζεται νῦν πρὸς τὴν τούτων πονηρίαν. ὑπὲρ πάσης* 21
ὦ Ἀθηναῖοι τῆς χώρας νῦν μέλλετε φέρειν τὴν ψῆφον, καὶ

1 *οἷς* om. A[pr] add. A[1] | *πρὸς τούτων* Bake | *αὐτὸν* N[pr] corr. vel N[1] vel N[2] ‖ 2 *αὐτοῦ* N (del. Turr.): *αὐτοῦ* A ‖ 3 post *ψευδὴς ἦν* apodosin excidisse statuunt Schmidt Turr. Maetz., qui ex p. 16, 20s. supplere mavult: *τοῦτον οὐ τιμωρησάμενοι παράδειγμα ποιήσετε τοῖς ἄλλοις;* ‖ 4 *πάντας* om. A, cf. p. 62, 4s. 67, 3 ‖ 5 *ἀναμνησθέντες* A[pr] corr. A[1] | *οἳ*] *ὅτι* Dobr. ‖ 7 *πόλεως* N: *πολιτείας* A, quod def. Graffunder, cf. p. 60, 7 ‖ 9 *δουλεύει* codd.: *δουλεύειν* Ald., cf. Gebauer, Lys. 479 ‖ 10 *εἰδότας* Ald.: *εἰδότες* NA | *ἀλλήλους*] *ἄλλους* A[pr] corr. A[1] ‖ 11 *ἀμυνόμεθα* A[pr] corr. A[1] ‖ 12 *ἡμῖν* A[2]: *ὑμῶν* NA[pr] ‖ 14 *οὐδεμίʼ ἂν* auct. Bk. et Dobr. Turr.: *οὐδεμία* ‖ 14ss. „locum pessime habitum Saup. ita correxit, ut *εἰς ὑμᾶς λαμβ. αὐτούς* post *ἀδικίαν* transponeret. Finke sic: *μηδʼ ἔλ. δεξάμενοι, μηδʼ εἰς ὑμᾶς ἀναλαβόντες αὐτοὺς τὴν τῶν κρ. ἀδικίαν, μηδὲ τὴν ἐξ Ἀρ. πάγου βουλὴν ἐξ αὐτῶν τῶν ἔ. τῆς ἀλ. ἀποδεδειγμένης ὑμῖν ἄκ. π.*" Bl.; *λαμβάνοντες* secl. Thalh. post *αὐτοὺς* excidisse putans *προσέμενοι*. vide etiam Kohm[1] 43—44. lacunas ind. Bl. ‖ 19 *πατρίδι*] *πατρὶ* A[pr] corr. A[1] ‖ 20 *διαδικάζετε* N[pr] corr. N[2] | *τούτων* A[pr]: *τούτου* A[1]N

τῶν ἐν ταύτῃ κατεσκευασμένων ἱερῶν καὶ τῶν ἀρχαίων νομίμων καὶ τῆς παραδεδομένης ὑπὸ τῶν προγόνων ὑμ⌜ῖ⌝ν πολιτείας, οὐχ ὑπὲρ Φιλοκλέους μόνον· οὗτος μὲν γὰρ αὑτοῦ πάλαι θάνατον κατέγνωκε. ταῦθ' ὑμᾶς ἱκετεύων ἐγὼ δικαιοτέραν πολὺ δέησιν δέομαι τούτων τῶν τ⟨οι⟩αῦτα 5 *πεπραχότων, μὴ ἐγκαταλιπεῖν ὑπὲρ ὧν οἱ πρόγονοι πολλοὺς ὑπέμειναν κινδύνους, μηδ' εἰς ἀδοξίαν αἰσχρὰν ἀγαγεῖν τὸ τῆς πόλεως ἀξίωμα, μηδὲ ⟨ἀντι⟩καταλλάξασθαι τὴν πρὸς τούτους χάριν τῶν νόμων καὶ τῶν τοῦ δήμου*

22 *⟨ψηφισμάτων⟩ καὶ τῶν τῆς βουλῆς ἀποφάσεων. ἀκριβῶς* 10 *γὰρ ἴστ' ὦ Ἀθηναῖοι ἀκριβῶς, ὅτι ὑμεῖς μὲν παρὰ πᾶσιν ἀνθρώποις ἐπαινεῖσθε ταῖς γεγενημέναις ζητήσεσιν ὑπὲρ τούτων τῶν χρημάτων, οἱ δ' ἐξεληλεγμένοι κατὰ τῆς ἑαυτῶν πατρίδος δῶρ' εἰληφότες πονηροὶ καὶ ἄδικοι καὶ μισόδημοι νομίζονται εἶναι, φιλεῖν ὑμᾶς φάσκοντες καὶ* 15 *πράττειν ὑπὲρ τῶν τῆς πόλεως ἀγαθῶν, καὶ δι' ὑμᾶς ἔνδοξοι γεγενημένοι.*

1 *κατεσκ.* A^{2}: *κατασκ.* N A^{pr} ‖ **2** *ὑπὸ* N A^{1}: *ὑπὲρ* A^{pr} ut vid. | *ὑμῖν* Rei.: *ὑμῶν* ‖ **3** *μὲν* om. A ‖ **5** *τοιαῦτα* Bl. cl. p. 52, 8. 69, 19: *ταῦτα* ‖ **8** *ἀντικαταλλ.* Hirschig cl. p. 12, 15. 16, 13. 70, 13: *καταλλάξασθαι* ‖ **10** *ψηφισμάτων* add. Maetz. cl. p. 43, 6. 49, 14 ‖ **12** *ἐπαινεῖσθε* $N^{1}A^{1}$: *-εῖσθαι* $N^{pr}A^{pr}$ | ⟨*ἐπὶ*⟩ *ταῖς* Rei., sed cf. Maetz. ‖ **17** in fine quaedam deesse putant Turr. | *κατὰ φιλοκλέους* subicit N

FRAGMENTA

1. *ΔΗΜΟΣΙΟΙ ΛΟΓΟΙ ΓΝΗΣΙΟΙ*


I. *ΚΑΤΑ ΠΟΛΥΕΥΚΤΟΥ* (*ΔΟΚΙΜΑΣΙΑ*)

TESTIMONIA

Dionys. Halic. de Din. 5, p. 304, 16 R. *οὐ μὴν ἀλλὰ καὶ τοῦ Δημοσθενικοῦ χαρακτῆρος, ὃν μάλιστα ἐμιμή-*
5 *σατο, πολὺ πλείω* (sc. *παραδείγματα*) *δύναιτ' ἄν τις εἰπεῖν,*

2 De oratione v. Sauppe, O. A. 2, 325b—326a; Schäfer, Demosth.[2] 3/1, 318 n. 2; Blass 298 nr. 1; Shoemaker 125—128. de Polyeucto v. Kirchner, P. A. 11927 (idem fort. 11928); cf. etiam Schaefer, RE XXI 2, 1952, 1623; Marenghi, Dinarco 125

Siglis librorum his utor: a) fr. quae in Dionysio Halicarnasseo servantur: F = Laurentianus Mediceus gr. LIX 15; F[1] = primariae manus correctiones; F[2] = correctiones recentiores a quo scriptae sint nescitur; F[3] = correctiones in margine manus recentissimae; B = Bodleianus gr. deperditus quo usus est John Hudson, v. D. Halic. Operum tom. II Praefat. et pp. 179—190. b) fr. quae in Harpocratione servantur:



v. J. J. Keaney, CPh 63, 1968, 281. praeterea: C = Vratislaviensis, X = Ambrosianus A 99 sup., L = Marcianus 490, de quibus vid. Bekker et Dindorf in praefationibus.

⟨ἄλλ⟩ως τε καὶ ἐν τῷ Κατὰ Πολυεύκτου. προοιμιάζεται γὰρ ὁμοίως ἐκείνῳ, καὶ δι' ὅλου το⟨ῦ⟩ λόγου παραπλήσιος μεμένηκε.

FRAGMENTA

1. Dionys. Halic. de Din. 10, p. 311, 2 R. *Κατὰ Πολυεύκτου βασιλεύειν λαχόντος δοκιμασία{ν}· πολλὰ καὶ* 5 *ἀγαθὰ γένοιτο.*

***2.** Prisciani Inst. lib. 18, 182 (= 1, 293, 5 Hertz) *Ἐγκύκλια* Graeci et de probabilibus et de vilissimis rebus dicunt. *Δείναρχος ἐν τῷ Κατὰ Πολυεύκτου· ἀνθρώπου καὶ μισθωτοῦ καὶ πάντα τὰ ἐγκύκλια ἀδικήματα* 10 *ἠδικηκότος.* hinc Romani „in ordinem redactus est", hoc est inter viles et obiectos connumeratus.

3. Harpocr. s. v. *ἀρχαιρεσιάζειν· τὸ ἀξιοῦν ἑαυτὸν αἱρεθῆναι ἄρχοντα· Δείναρχος ἐν τῷ ⟨Κατὰ⟩ Πολυεύκτου.*

4. Harpocr. s. v. *ἐπακτροκέλης· Αἰσχίνης ἐν τῷ* 15 *Κατὰ Τιμάρχου* (191). *εἶδος δ' ἐστὶ πλοίου σύνθετον τὴν κατασκευὴν ἔκ τε ἐπακτρίδος καὶ κέλητος. ἦν δὲ ὡς ἐπίπαν λῃστρικόν, ὡς καὶ Δείναρχος ἐν τῇ Κατὰ Πολυεύκτου δοκιμασίᾳ.*

II. *ΚΑΤΑ ΠΟΛΥΕΥΚΤΟΥ ΕΚΦΥΛΛΟΦΟΡΗΘΕΝΤΟΣ ΕΝΔΕΙΞΙΣ* 20

1. Dionys. Halic. de Din. 10, p. 311, 3 R. *Κατὰ Πολυεύκτου ἐκφυλλοφορηθέντος ὑπὸ τῆς βουλῆς ἔνδειξις· πάλαι θαυμάζω ὑμῶν.*

13 Suda α 4079 (ex Epit.) = Bachm. Anecd. 149, 11 Cram. Anecd. Oxon. 2, 490, 33 ‖ **15** cf. Bk. *Λέξ. ῥητ.* 255, 13 Et^G = Et^M 353, 7 Phot. (z) Suda ε 1938 Paus. att. ε 40 = Eustath. Od. 1871, 63 schol. ad Aeschin. 1, 191 al. de *ἐπακτροκέλης* v. C. Torr, Ancient Ships, Chicago 1964, 112—113; J. S. Morrison et R. T. Williams, Greek Oared Ships, Cambridge 1968, 245 ‖ **22** de oratione v. Sauppe,

1 *⟨ἄλλ⟩ως τε καὶ* Raderm.: *ὥστε καὶ* **F**: *ὡς καὶ* Sylburg | *τε* post *προοιμιάζεται* add. Bl. ‖ **2** *τοῦ* Victor.: *τὸ* **F** ‖ **5** *δοκιμασία* Victor.: *-σίαν* **F** ‖ **8** et vilissimis **MV** ‖ **13** *ἀξιοῦν* **PNBG**: *ἀναξιοῦν* cett. ‖ **14** *κατὰ* add. edd. ‖ **16** *ἔχον* post *σύνθετον* add. **QPMNKγ** Epit. ‖ **17** *τε* om. Epit.

2. Harpocr. s. v. *ἐκφυλλοφορῆσαι· εἰ ἐδόκει τις τῶν βουλευτῶν ἀδικεῖν, διεψηφίζετο ἡ βουλὴ περὶ αὐτοῦ εἰ χρὴ αὐτὸν μηκέτι βουλεύειν. ἀντὶ δὲ ψήφων φύλλοις ἐχρῶντο, δι' ὧν ἕκαστος ἐπεσημαίνετο τὴν αὐτοῦ γνώμην. Δείναρ-*
5 *χος ἐν τῷ Κατὰ Πολυεύκτου ἐκφυλλοφορηθέντος.*

***3.** Harpocr. s. v. *παλίμβολον· Αἰσχίνης ἐν τῷ Περὶ τῆς πρεσβείας* (2, 40). *ὁ πολλάκις ἐπ' ἐμπολῇ μεταβεβλημένος ⟨καὶ⟩ παλίμπρατος παλίμβολος λέγεται, ὡς δῆλόν ἐστιν ἔκ τε τοῦ Δεινάρχου Κατὰ Πολυεύκτου καὶ ἐκ τοῦ*
10 *Μενάνδρου Σικυωνίου* (379 Koerte = 11 Sandbach)

4. Harpocr. s. v. *παλιναίρετος· Δείναρχος ἐν τῇ Κατὰ Πολυεύκτου ἐκφυλλοφορηθέντος ἐνδείξει. μήποτε παλιναίρετον λέγει ὁ ῥήτωρ τὸν Πολύευκτον, ἐπειδήπερ συκοφαντῶν τινας, ἔπειτα λαμβάνων δῶρα τούτοις αὐτοῖς*
15 *ἐβοήθει, ὡς ἐν αὐτῷ τῷ λόγῳ δείκνυται· ἢ ὅτι συκοφάντης ἁλοὺς ἐζημιοῦτο, καὶ διὰ τοῦτ' ἐκωλύετο λέγειν πρὶν ἀποτῖσαι τὴν ζημίαν ἣν ὦφλεν, ἔπειτα ἀποτίσας τὴν ζημίαν*

O. A., l. l.; Blass 298 nr. 2; Shoemaker 133–140; P. J. Rhodes, The Athenian Boule, Oxford 1972, 145. de hoc Polyeucto v. Schäfer, Demosth.[2] 3/1, 318 n. 2; Blass 298 nr. 4b; Kirchner, P. A. 11947. de *ἐκφυλλοφορία* v. E. Caillemer, D. A. „boulè" (1, 740a); M. S. L., Att. Process 246–248; Szanto, RE V 2, 1905, 2216; Lipsius, A. R. 277; U. Kahrstedt, Unters. z. Magistr. in Athen 2, 22 n. 4. 109 n. 1. 115. de *ἔνδειξις* v. P. Photiades, *Ἀθηνᾶ* 13, 1901, 3–7; Lipsius, A. R. 331 s.; Bonner-Smith, Admin. of Justice 2, 273; Harrison, The Law of Athens, 2, 17–18. 221–222. 229–231 et passim; Rhodes, op. cit., 144–146

1 cf. Lex. Vind. 58, 6 (Nauck) ubi v. *ἐκφυλλοφορηθέντος* deest; Et^G = Et^M 325, 9 Phot. (z) Suda ε 722 Cram. Anecd. Oxon. 2, 493, 24 schol. ad Aeschin. 1, 111 Bk. *Λέξ. ῥητ.* 248, 7 ‖ **6** cf. Bachm. Anecd. 326, 20 Phot. Suda π 89 Timaei soph. lex. Platon. s. v. Bk. *Λέξ. ῥητ.* 291, 29 Poll. 6, 164 schol. ad Aeschin. 2, 40 Eustath. 1045, 7 al. ‖ **11** cf. Phot. Suda π 99; et. Timaei soph. lex. Platon. s. v.

3 *ψήφου* Epit. ‖ **4** *δι' ὧν*] *ἐν οἷς* Epit. | *ἐπεσημήνατο* γ | *αὐτοῦ* **VB**: *αὑτοῦ* cett. An. Ox.: *ἑαυτοῦ* **DE** ‖ **6–7** *περὶ τῆς πρεσβείας* **Π**: *παραπρεσβείας* Epit. ‖ **7** *ἐπ' ἐμπολῇ* **QPK** v. l. **AX** Phot. (*-ολλῇ* **E**): *ἐπ' ἐμβολῇ* **QMNγD**: *ἐμπολῇ* ξ ‖ **8** *καὶ* add. Saup. (*καὶ λεγόμενος ἐν τῷ βίῳ παλίμπρατος* Phot.) ‖ **11** *παλιναίρετος* Phot. Suda: *πάλιν αἱρετὸς* **ΠED** ‖ **13** *πάλιν αἱρετὸν* γ ‖ **17** *τὴν ζημίαν* om. **N** | *ὦφλεν* Saup.: *ὤφειλεν* vulg.

πάλιν ἔλεγεν, ὡς δηλοῦται καὶ τοῦτο ἐν τῷ λόγῳ. ὅτι γὰρ τοὺς τοιούτους ἐκάλουν παλιναιρέτους, καὶ τοὺς ἀποχειροτονηθέντας τὴν ἀρχὴν καὶ πάλιν χειροτονηθέντας, Εὔπολίς τε ἐν Βάπταις (fr. 89 K.) *δηλοῖ καὶ Ἄρχιππος ἐν Ἰχθύσι* (fr. 14 K.) *λέγων* 5

> *αἱρουμένους τε πραγμάτων ἐπιστάτας*
> *ἀποδοκιμάζειν, ⟨εἶτα δοκιμάζειν⟩ πάλιν.*
> *ἢν οὖν ποιῶμεν ταῦτα, κίνδυνος λαθεῖν*
> *ἀπαξάπαντας γενομένους παλιναιρέτους.*

ἐπὶ δὲ τῶν καθαιρεθέντων οἰκοδομημάτων καὶ ἀνοικοδομηθέντων Πίνδαρος Διθυράμβοις (fr. 84 Snell). 10

III. *ΚΑΤΑ ΠΟΛΥΕΥΚΤΟΥ ΠΕΡΙ ΤΟΥ ΓΕΩΦΑΝΙΟΥ*

TESTIMONIA

Pollux 7,99 *πολλὰ δ' ἂν καὶ ἄλλα εἴη μέταλλα, ὥσπερ τὰ ἐν Σάμῳ τὰ καλούμενα γεωφάνια, ὑπὲρ ὧν Δείναρχος λέγει.* cf. Harpocr. s. v. *γεωφάνιον· χωρίον ἐν ᾧ γῆς μέταλλον. περὶ δὲ τοῦ ἐν Σάμῳ γεωφανίου ὃν τρόπον ἐξευρέθη Ἔφορος δεδήλωκεν ἐν τῇ θ'* (FGrHist 70 F 59a). 15

12 de oratione v. Shoemaker 144—146. de hoc Polyeucto v. Blass 298 nr. 3—4; Kirchner, P. A. 11929 ‖ 14 Phot. (z) Suda *γ* 174 (ex Epit.) *γεωφανεῖον* (*-φάνιον* Suda) *χωρίον ἐν ᾧ μέταλλον*; cf. ibid. gl. *γεοφανεῖον* et *ἐπὶ τὰ Μανδροβόλου* (= schol. ad Lucian. 167,12 Rabe); Suda *ε* 2716 *ἐπὶ τοῦ Μανδραβούλου*; et Bk. *Λέξ. ῥητ.* 227,16. 232,12 Et^M 229,21 Hsch. – de fr. v. A. Boeckh, Kl. Schr., Lipsiae 1871, 5, 17—18

2 *πάλιν αἱρετοὺς* **ΠED** ‖ 4 *βαπταῖς* **AV** ‖ 5 *ἰχθύσι* **C**: *τοῖς ἰχθύσι* ‖ 7 *εἶτα δοκιμ.* add. Porson ‖ 9 *πάλιν αἱρετοὺς* **ΠED** ‖ 15—16 *ὑπὲρ ὧν Δείν. λέγει* additamentum recentius putat Boeckh (Kl. Schr. 5, 18 n. 53) ‖ 16 *γεωφάνιον* hic et infra Harpocr.: *-νειον* Poll. Bk. Anecd. Et^M ‖ 18 *Ἔφορος*] *εὔφορος* **G** | *ἐν τῇ θ'* **G**: *ἐν τῷ θ^ω* **L**: *ἐν θ^ω περὶ χωρίων* **O**: *ἔφορος καὶ χωρίον* **A**

FRAGMENTA

1. Dionys. Halic. de Din. 10, p. 311, 5 R. *Κατὰ Πολυεύκτου περὶ τοῦ* ⌈γ⌉*εωφανίου· περὶ μὲν αὐτῆς τῆς μηνύσεως.*

***2.** Harpocr. s. v. *Αἰγεῖον· Αἰγέως ἡρῷον ἐν Ἀθήναις·* 5 *Δείναρχος ἐν τῷ Κατὰ Πολυεύκτου.*

***3.** P. Oxy. 2744 col. II 9ss. et W. Luppe, Archiv f. Papyrusf. 20, 1970, 37 et 42 *βο[λε]ῶ[ν]ας δὲ καὶ τοὺς κοπρεῶνας καλεῖσθαί φησιν Ἀμερ[ί]ας. Δείναρχος δὲ ἐν τῶι Κατὰ Πολυεύ[κ]του κέχρηται τῶι ὀνόματι [τού]τωι· (τὸ* 10 *Εὐρυσάκειον) ἐνταῦθα ἐ[π]ράττε[το] ἑπτακοσίας δραχ[μ]ὰς ὑπὲρ τῆς κόπρ[ου], ἥν φασιν* †*ο[.]εεδω-[..]*† *καὶ Ἀλεξάνδρου τ[ο]ῦ ἐξ Οἴου καὶ τῶν ἄλλων τῶν τοὺς βολεῶ[να]ς κεκτημένων.* cf. Harpocr. s. v. *βολεῶνες· ὁ τόπος ὅπου ἡ κόπρος βάλλεται βολεὼν κα-* 15 *λεῖται. Νίκανδρος ἐν γ' Ἀττικῆς διαλέκτου* (FGrHist 343 F 3) *βολεῶνας ἐπὶ τῶν ἀγρῶν, εἰς οὓς τὰ κόπρια ἐκφέρεται. οὕτω Δείναρχος καὶ Φιλήμων* (fr. 221 K.) *καὶ ἄλλοι.*

***4.** Harpocr. s. v. *Καρύανδα· Δείναρχος ἐν τῷ Κατὰ Πολυεύκτου. ἔστι δὲ πόλις τῆς Καρίας.*

20 IV. *ΠΕΡΙ ΤΟΥ ΓΕΩΦΑΝΙΟΥ ΕΠΙΛΟΓΟΣ*

Dionys. Halic. de Din. 10, p. 311, 6 R. *Περὶ τοῦ* ⌈γ⌉*εωφαν⟨ί⟩ου ἐπίλογος· βραχύν, ὦ ἄνδρες.*

4 Bachm. Anecd. 42, 8 = Phot. (bz) Suda s. v. *Αἰγεῖον*, v. Ddf. ad Harpocr. gl.; de heroo Aegei v. Paus. 1, 22, 5 || **6** Phot. (z) = Cram. Anecd. Oxon. 2, 492, 3 Suda *β* 362 Et[M] 204, 25 Pollux 7, 134 Eustath. 1404, 63 || **12** *Ἀλεξ. τοῦ ἐξ Οἴου*: v. Hyper. 3, 12 J. *ἀλλ' ὅτ' ἔφευγες* (sc. *Πολύευκτε*) *τὸν ἀγῶνα ὑπ' Ἀλεξάνδρου τοῦ ἐξ Οἴου κτλ.* Kirchner, P. A. 512 || **18** cf. Phot. Suda *κ* 434 (ex Epit.); cf. etiam Steph. Byz. s. v. || **20** de oratione v. Shoemaker 147; Marenghi, Dinarco 126

2 *γεωφανίου* Meurs.: *τεωφανίου* **F** || **10** *ἐ[π]ράττε[το]* Luppe: *ἐ[.].απε[...]* Lobel || **14** gl. om. **P** | *ὁ* om. **Q** | *ἡ* om. ***Π*** || **16** *ἐκφέρεται* (sive *ἐκφέρουσιν*) Jac.: *ἐκφέρει* (*ἐκφύρει* **P N**) codd. || **17** *οὕτω ... ἄλλοι* add. Epit. || **21** *γεωφανίου* Meurs.: *τεωφάνου* **F** || **22** *ὦ ἄνδρες*] *ἆ* **F** saepe

IV a. ΚΑΤΑ ΠΟΛΥΕΥΚΤΟΥ ΑΠΟΦΑΣΙΣ

Harpocr. s. v. *παραγγελία· ⟨Δημοσθένης ἐν τῷ Κατ' Αἰσχίνου· ὅση σπουδὴ καὶ παραγγελία⟩ περὶ τουτονὶ τὸν ἀγῶνα γέγονε* (Demosth. 19, 1). *καὶ Αἰσχίνης δὲ τρόπον* 5 *τινὰ τῇ αὐτῇ διανοίᾳ ἐχρήσατο ἐν τῷ Κατὰ Κτησιφῶντος* (3, 1)· *τὴν μὲν παρασκευὴν ὁρᾶτε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ⟨τὴν⟩ παράταξιν ὅση γεγένηται, καὶ τὰς κατ' ἀγορὰν δεήσεις αἷς κέχρηνταί τινες. Δείναρχος ἐν τῇ Κατὰ Πολυεύκτου ἀποφάσει· καὶ τὰς ἰδίᾳ παραγγελίας γε-* 10 *γενημένας καὶ τὰς δεήσεις.*

IV b. ΚΑΤΑ ΠΟΛΥΕΥΚΤΟΥ ΔΩΡΟΔΟΚΙΑΣ

1. Harpocr. s. v. *δώρων γραφή· ὁπότε τις αἰτίαν ἔχοι τῶν πολιτευομένων δῶρα λαβεῖν, τὸ ἔγκλημα τὸ κατ'* 15 *αὐτοῦ διχῶς ἐλέγετο, δωροδοκία τε καὶ δώρων γραφή. Δείναρχος οὖν λόγον μέν τινα ἐπέγραψε Κατὰ Πολυεύκτου δωροδοκίας, ἐν δὲ τῷ Κατὰ Πυθέου ξενίας πολλάκις ὀνομάζει τὴν τῶν δώρων γραφήν.*

2. P. Oxy. 1804 (III Oxy) fr. 3, 7—8 .....] *κον Δείναρ-* 20 *χος [ἐν τῷ Κατὰ Πολυεύκτ]ου [δ]ωροδοκίας* ...

3 cf. Suda π 304 Bachm. Anecd. 329, 1 = Phot. *παραγγείλας* (h. e. *παραγγελίας*?) || 14 cf. Suda δ 1467 Phot. (z) (ex Epit.) Bk. *Λέξ. ῥητ.* 237, 3. de *δώρων γραφὴ* v. Arist. *Ἀθ. πολ.* 54, 2; 59, 3; v. etiam M. S. L., Att. Process 444—445; Glotz, Solidarité 497—503; Lipsius, A. R. 250. 401—402; FGrHist 328 F 149 n. 28; Kl. Pauly 2, 147

3—4 *Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου* add. Ddf. || 4 *ὅση σπουδὴ καὶ παραγγελία* ex or. Demosthenis suppl. Maussac | *καὶ περὶ* **Π** || 8 *τὴν* add. Ald. || 15 *ἔχοι* E Phot. Suda: *ἔχῃ* **BD**: *ἔχει* cett. || 16 *δωροδοκίας* Meier || 17 *οὖν*] *οὖν καὶ* **B**: *μὲν καὶ* omisso proximo *μέν* **G**: *γοῦν* mal. Bk. || 18 fort. *δωροδοκίας ἀπόφασις* Shoemaker

V. *ΚΑΤΑ ΠΥΘΕΟΥ ΞΕΝΙΑΣ*

TESTIMONIA

Demosth. epist. 3, 29–30 *καὶ μὴν οὐδὲ τὸν Πυθέαν παραλείψω τὸν μέχρι τῆς παρόδου δημοτικόν, μετὰ ταῦτα δ' ἕτοιμον εἰς τὰ καθ' ὑμῶν πάντα. τίς γὰρ οὐκ οἶδεν* 5 *τοῦτον, ὅτε μὲν τὴν ὑπὲρ ὑμῶν τάξιν ἔχων εἰς τὸ πολιτεύεσθαι παρῄει, ὡς δοῦλον ἐλαυνόμενον καὶ γραφὴν ξενίας φεύγοντα καὶ μικροῦ πραθένθ' ὑπὸ τούτων οἷς νῦν ὑπηρετῶν τοὺς κατ' ἐμοῦ λόγους ἔγραφεν, ἐπειδὴ δ' ἃ κατηγόρει τότε τῶν ἄλλων, νῦν αὐτὸς πράττει, εὐποροῦντα μὲν* 10 *οὕτως ὥστε δύ' ἔχειν ἑταίρας, ... πέντε τάλαντα δ' ὀφλόντα ῥᾷον ἐκτεῖσαι ἢ πέντε δραχμὰς ἂν ἔδειξε πρότερον, πρὸς δὲ τούτοις παρ' ὑμῶν, τοῦ δήμου, οὐ μόνον τῆς πολιτείας μετειληφότα, ὃ κοινὸν ὄνειδός ἐστιν ἅπασιν, ἀλλὰ καὶ θύονθ' ὑπὲρ ὑμῶν τὰς πατρίους θυσίας ἐν Δελφοῖς;*

FRAGMENTA

15 **1.** Dionys. Halic. de Din. 10, p. 311, 7 R. *Κατὰ Πυθέου ξενίας· ἱκανὴ μὲν ἦν πρόφασις.*

2. Steph. Byz. p. 42, 5 Mein. *Αἴγιναι τρεῖς. νῆσος, μία τῶν Κυκλάδων ... ὁ πολίτης Αἰγινεύς, ὡς Στράβων* (nusquam legitur), *ὡς οἱ πολλοί, Αἰγινήτης ... Αἰγιναῖος* 20 *δὲ ὁ ἔποικος ἢ κέραμος ἢ ὀβολὸς ἢ ἄλλο τι σκεῦος ἀπὸ Αἰγίνης, καὶ τὸ θηλυκὸν Αἰγιναία. λέγεται καὶ γυνὴ Αἰγιναία, ὡς Δείναρχος ἐν τῷ Κατὰ Π⌈υ⌉θέου ξενίας. τὸ θηλυκὸν τοῦ Αἰγινήτης Αἰγινῆτις. σπάνια δὲ τὰ εἰς -της ἐθνικὰ τῷ η παραληγόμενα ὑπὲρ τρεῖς συλλαβὰς βαρύ*- 25 *τονα.*

1 de oratione v. Sauppe, O. A. 2, 327; Schäfer, Demosth.² 3, 328 n. 1. de Pythea v. Blass 283–288; Kirchner, P. A. 12342; FGrHist 328 F 64 n. 14; Kl. Pauly 4, 1273 nr. 3 ‖ **19** Herod. *π. παρων.* (= Gramm. gr. III 2, Lentz) 861, 2 *Αἰγιναῖος—Αἰγινῆτις*

11 *ἂν ἔδειξε* ***Π***: *ἀνέξεσθε* codd.: *ἀνέχεσθαι* Rei. ‖ **22** *Πυθέου* Holstenius: *ποθέου*

3. Harpocr. s. v. *Ἀρχιδάμειος πόλεμος· Λυσίας ἐν τῷ Κατ' Ἀνδροτίωνος* (fr. 18 Turr. = fr. IX Thalh.) *καὶ ⟨Δείναρχος ἐν τῷ Κατὰ⟩ Πυθέου ξενίας. τὰ πρῶτα δέκα ἔτη τοῦ Πελοποννησιακοῦ πολέμου Ἀρχιδάμειος ἐκλήθη πόλεμος, ὡς ἔοικεν, ἀπὸ τοῦ τὸν Ἀρχίδαμον εἰς τὴν Ἀττικὴν ἐμβαλεῖν ...* 5

4. Harpocr. s. v. *δώρων γραφή· ... Δείναρχος οὖν ... ἐν δὲ τῷ Κατὰ Πυθέου ξενίας πολλάκις ὀνομάζει τὴν τῶν δώρων γραφήν.* cf. or. II, 1.

VI. *ΚΑΤΑ ΠΥΘΕΟΥ ΠΕΡΙ ΤΩΝ ΚΑΤΑ ΤΟ ΕΜΠΟΡΙΟΝ (ΕΙΣΑΓΓΕΛΙΑ)* 10

1. Dionys. Halic. de Din. 10, p. 311, 8 R. *Κατὰ Πυθέου περὶ τῶν κατὰ τὸ ἐμπόριον· ἐπειδὴ τοῖς μὲν λέγειν τῶν ῥητόρων.*

2. Harpocr. s. v. *ἀντιβληθέντος· ἀντὶ τοῦ ὑπαγορευθέντος Δείναρχος ἐν τῇ Κατὰ Πυθέου εἰσαγγελίᾳ.* 15

3. Harpocr. s. v. *ἀπρότων· Δείναρχος ἐν τῷ Κατὰ Πυθέου· ἐμπεπηδηκότων τῶν ῥητόρων ὥσπερ ἀπρότων εἰς τὸ ἐμπόριον. μήποτε γραφικὸν ἁμάρτημα, καὶ δεῖ γράφειν ὥσπερ* ⌈*ληστῶν*⌉. *ἐν τισι δὲ* 20

1 cf. Bachm. Anecd. 149, 18 Suda *α* 4108 Paroem. Gr., Ap. 3, 78 al. ‖ **10** de oratione v. Shoemaker 168—173; Marenghi, Dinarco 126 et de aetate De Sanctis, Scritti minori I 195. de *εἰσαγγελία* v. P. Photiades, *Ἀθηνᾶ* 11, 1899, 89—116; Lipsius, A. R. 176—219; Bonner-Smith, Admin. of Justice, 1, 294—322; Harrison, The Law of Athens, 2, 50—59 ‖ **15** cf. Bachm. Anecd. 104, 17 = Phot. (bz) Suda *α* 2654 (ex Epit.) Cram. Anecd. Oxon. 2, 489, 30 ‖ **17** Bachm. Anecd. 139, 1 = Suda *α* 3704 (ex Epit.); cf. etiam Et[G] (Miller 11 et Livadaras, *Ἀθηνᾶ* 70, 1968, 44) Bachm. Anecd. 139, 8 Bk. *Λέξ. ῥητ.* 204, 23 Et[M] 4, 25 al.

1 *Ἀρχιδάμειος* Bk.: *-μιος* ‖ **2** *κατὰ ἀνδροτίωνος* ξ: *κατ' αὔτανδρον* v. l. sim. cett. ‖ **3** *Δείν. κατὰ* add. Maussac, *ἐν τῷ* add. Saup. ut vid. | *πυθέου* **Π**: *πυθίου* **P B** ‖ **15** *ἀντιβληθέντος ... ὑπαγορευθέντος* Epit.: *-ας ... -ας* **Π** ‖ **17** *ἀπρότων*] *παρνόπων* vid. rectum esse, cf. et Cobet, Coll. crit. 172 ‖ **18** *πυθίου* **P V G**: *Πυθαίου* Bachm. Anecd. ‖ **19** *τὸ ἁμάρτ.* **B** ‖ **20** *ληστῶν* Hemsterh. cl. Et[M] 4, 27: *ἀλη(-λν* **Q**, *-λι* **P**)*πίσων* cett.: *απισων* **R**: *ἀλησίπων* **XB**

γέγραπται ὥσπερ παρνόπων· εἰσὶ δ' οἱ πάρνοπες εἶδος ἀκρίδος.

*4. Harpocr. s. v. ἀρρηφορεῖν· Δείναρχος Κατὰ Πυθέου. τέσσαρες μὲν ἐχειροτονοῦντο δι' εὐγένειαν ἀρρη-
5 φόροι, δύο δὲ ἐκρίνοντο, αἳ τῆς ὑφῆς τοῦ πέπλου ἦρχον καὶ τῶν ἄλλων τῶν περὶ αὐτόν. λευκὴν δ' ἐσθῆτα ἐφόρουν. εἰ δὲ χρυσία περιέθεντο, ἱερὰ ταῦτα ἐγίνετο.

*5. Harpocr. s. v. βασιλικὴ διαδρομή· ἔοικεν ἡ γ[ι]νομένη διαδρομὴ τοῦ βασιλέως παρόντος, ὅσπερ εἷς
10 ἐστι τῶν Ἀθήνησιν θ' ἀρχόντων, βασιλικὴ διαδρομὴ καλεῖσθαι· Δείναρχος Κατὰ Πυθέου.

6. Harpocr. s. v. ἐπιμελητὴς ἐμπορίου· Δείναρχος ἐν τῷ Κατὰ Πυθέου. Ἀριστοτέλης· ἐμπορίου δ' ἐπιμελητὰς ι' κληροῦσιν, τούτοις δὲ προστέτακται τῶν τε ἐμπο-
15 ρίων ἐπιμελεῖσθαι, καὶ τοῦ σίτου τοῦ καταπλέοντος εἰς τὸ Ἀττικὸν ἐμπόριον τὰ β' μέρη τοὺς ἐμπόρους ἀναγκάζειν εἰς τὸ ἄστυ κομίζειν (Ἀθ. πολ. 51, 4).

*7. Suda κ 215 Καλλίας πτερορρυεῖ· ... καὶ καλλίου, πιθήκου. τὰ δυσχερῆ γὰρ τῶν ὀνομάτων εὐφημότερον εἰώ-
20 θασιν οἱ Ἀττικοὶ προφέρεσθαι. καὶ τὸν πίθηκον οὖν καλλίαν προσηγόρευσαν. Δείναρχος ἐν τῷ Κατὰ Πυθέου· ἀλλ', οἶμαι, ὥσπερ οἱ τοὺς καλλίας ἐν τοῖς οἴκοις τρέ-

3 Bachm. Anecd. 145, 24 (ex Epit.); cf. Suda α 3848 Bk. Λέξ. ῥητ. 202, 3 Et[M] 149, 18. de ἀρρηφορεῖν v. A. Mommsen, Heortologie, Leipzig 1864, 443—448; Hiller v. Gärtringen, RE VI 1, 1907, 549—551; L. Deubner, Att. Feste, Berlin 1932, 9—17. 31; FGrHist 334 F 27; Nilsson, GgrR I³ 441 s.; W. Burkert, Kekropidensage und Arrhephoria, Hermes 94, 1966, 1—25 ‖ 8 Phot.(z) Suda β 158 (ex Epit.) ‖ 12 Phot. (z) Suda ε 2465 (ex Epit.) cf. Bk. Λέξ. ῥητ. 255, 22 Et[G] = Et[M] 362, 6. de ἐπιμελητὴς ἐμπορίου v. supra p. 58, 13 ‖ 18 cf. Bk. ΔΟ 190, 20 et Λέξ. ῥητ. 275, 6

3 ἀρρηνοφορεῖν **AB** ‖ 4 ἀρρηνοφόροι **B** ‖ 7 εἰ δὲ Epit.: καὶ εἰ **Π** | ἐγίνετο **B**[pr] Epit.: ἐγένοντο **QR**: ἐγίνοντο cett. ‖ 9 γιν. Bk.: γεν. ‖ 11 πυθίου **BCL** ‖ 12 ἐπιμελητὰς ἐμπ. Epit. fort. recte ‖ 14 ἐμπορίων Aristot. Harpocr.: ἐμπόρων Bk. ‖ 16 ἀττικὸν **QPNARZB**, v. l. **MKX**: ἀστικὸν **MKVX**, v. l. **Q**: σιτικὸν Aristot. ‖ 20 προσφέρεσθαι **F** ‖ 21—p. 82, 1 Δείν. — πιθήκους om. **F**

φοντες, τουτέστι πιθήκους. οὕτω δὲ καὶ τὰς Ἐρινύας Εὐμενίδας λέγουσιν.

8. Harpocr. s. v. *καταδεδέσθαι· ἀντὶ τοῦ πεφαρμακεῦσθαι καὶ δεδέσθαι φαρμάκοις Δείναρχος ἐν τῇ Κατὰ Πυθέου εἰσαγγελίᾳ.* 5

9. Harpocr. s. v. *κοβαλεία· Δείναρχος ἐν τῇ Κατὰ Πυθέου εἰσαγγελίᾳ. κοβαλεία ἐλέγετο ἡ προσποιητὴ μετ' ἀπάτης παιδιά, καὶ κόβαλος ὁ ταύτῃ χρώμενος. ἔοικε δὲ συνώνυμον τῷ βωμολόχῳ· Φιλόχορος ⟨ἐν⟩ β' Ἀτθίδος* (FGrHist 328 F 6)· *οὐ γάρ, ὥσπερ ἔνιοι λέγουσι, βωμο-* 10 *λόχον τινὰ καὶ κόβαλον γίνεσθαι νομιστέον τὸν Διόνυσον* ...

*10. Harpocr. s. v. *λαμπάδιον· ἣν νῦν ἡμεῖς λαμπάδα καλοῦμεν, οὕτως ὠνόμαζον· Δείναρχος ἐν τῷ Κατὰ Πυθέου καὶ Πλάτων ἐν α' τῆς Πολιτείας* (328a). 15

*11. Harpocr. s. v. *μητρῷον· Λυκοῦργος ἐν τῷ Κατ' Ἀριστογείτονος* (II 1 Conomis)· *τοὺς νόμους ἔθεντο ἀναγράψαντες ἐν τῷ μητρῴῳ· δηλοῖ ⟨καὶ⟩ Δείναρχος ἐν τῷ Κατὰ Πυθέου.*

*12. Harpocr. s. v. *νομοφύλακες· ἀρχή τις παρ' Ἀθη-* 20

3 Phot. Suda κ 519 (ex Epit.) cf. Cram. Anecd. Oxon. 2, 496, 16 ‖ 6 Phot. Suda κ 1896 (ex Epit.); Bk. *Λέξ. ῥητ.* 272, 21 = Et^{M} 524, 34; v. FGrHist 328 F 6 ‖ 13 Phot. Suda λ 86 (ex Epit.); v. FGrHist 334 F 2 ‖ 16 Phot. Suda μ 1013 (ex Epit.). de situ Metroi v. T. L. Shear, Hesperia 4, 1935, 350—352; H. A. Thompson, ibid. 6, 1937, 115. 140; Wycherley, Test. p. 150—151; Travlos, PDAA 352—356; H. Thompson-R. Wycherley, The Agora of Athens, Princeton N. J. 1972, passim cf. Rhodes, The Athen. Boule, 31—32. de Metroo ut archivo publico cf. Kroll, RE XV 2, 1932, 1488—1490; U. Kahrstedt, Unters. zu athenischen Behörden. Anhang: Das athenische Staatsarchiv, Klio 31, 1938, 25—32 (= Zur griechischen Rechtsgeschichte, herausg. von E. Berneker, Darmstadt 1968, 253—262) ‖ 20 Phot. Suda ν 487 (ex Epit.) cf. Bk. *Λέξ. ῥητ.* 283, 16. 191, 20 Lex. Cantabr. s. v. Pollux 8, 94. — de nomophylacibus v. A. Boeckh, Kl. Schr. 5, 1871, 421—427 (praecipue p. 424 n. 5); J. Star-

3 *τοῦ* om. Q ‖ 6 *πυθαίου* E Phot. Suda: *πυθίου* PV ‖ 7 *προσποιητὸς* Epit. ‖ 8 *ἔοικε δὲ* om. ξ ‖ 9 *ἐν* add. Ald. ‖ 10 *ὥσπερ*] *ὡς* Q ‖ 11 *γενέσθαι* Epit. ‖ 13 *νῦν* om. Q ‖ 17 *νόμους* Epit.: *νόθους* Π ‖ 18 *δηλοῖ ⟨καὶ⟩* scripsi: *⟨ὡς⟩ δηλοῖ* susp. Shoemaker

ναίοις οὕτως ἐκαλεῖτο, διαφέρουσα τῶν θεσμοθετῶν· Δείναρχος Καθ' Ἱμεραίου (XIV 3) *καὶ ἐν τῷ Κατὰ Πυθέου. Φιλόχορος δὲ ἐν τῷ ζ'* (FGrHist 328 F 64) *ἄλλα τέ τινα διεξῆλθε περὶ αὐτῶν καὶ ὅτι οὗτοι τὰς ἀρχὰς ἐπηνάγκαζον*
5 *τοῖς νόμοις χρῆσθαι.*

13. Harpocr. s. v. *ὑπόλογον· Λυσίας περὶ ἀμβλώσεως, εἰ γνήσιος, οὐχ ὑπόλογον ὄντα ἀντὶ τοῦ οὐκ ἐν λόγῳ* (fr. X Thalh.). *Δείναρχος ἐν τῷ Κατὰ Πυθέου· οὐδεὶς ὑπόλογος ⟨τῇ⟩ βουλῇ γέγονεν ἀντὶ τοῦ οὐδεμία συγ-*
10 *γνώμη, οὐδεμία παραίτησις.*

***14.** Harpocr. s. v. *χρυσοχοεῖν· Δείναρχος ἐν τῷ Κατὰ Πυθέου· πάλιν παρ' Αἰσχίνου ἀποφοιτήσας παρὰ τούτῳ δῆλον ὅτι χρυσοχοεῖν ἐμάνθανεν, ἀλλ' οὐ τὸ προκείμενον αὐτῷ πράττειν ἢ πάσχειν. κέχρηται*

ker, De nomophylacibus Atheniensium, diss. Vratislaviae, Nissae 1880; Wilamowitz, Arist. u. Ath. 2, 191—192; A. Krebs, D. A. 'nomophylakes' 4, 1, 102—104; Lipsius, A. R. 35—36. 978; W. S. Ferguson, The Laws of Demetrius of Phalerum and their Guardians, Klio 11, 1911, 271—276; G. de Sanctis, I nomophylakes d'Atene, Entaphia in memoria di E. Pozzi, Torino 1913, 3—14 (= Scritti Minori 1, 193—204); FGrHist 228 F 26; E. Ziebarth, RE XVII 1, 1936, 832—833; E. Bayer, Demetrios Phalereus der Athener (Tübinger Beiträge 36), Stuttgart-Berlin 1942, 25—30. 132—136; F. Wehrli, Demetrios von Phaleron (Die Schule des Aristoteles 4), Basel-Stuttgart² 1968, fr. 32 et p. 51—52; FGrHist 328 F 64 (praecipue n. 4); G. Sciascia, Il collegio dei nomofilaci, Studi in onore di B. Biondi 1, Milano 1965, 631—646; An. P. Christophilopoulos, *Νομοφύλακες καὶ Θεσμοφύλακες, Πλάτων* 20, 1968, 134—143

6 Phot. Suda *υ* 540 Et^G Bk. *Λέξ. ῥητ.* 312, 8 || **11** Suda *χ* 586 (ex Epit.) cf. Bk. *Λέξ. ῥητ.* 316, 3 Paroem. Gr. (Greg. Cypr. Leid.) 3, 39 Apost. 18, 39. — de sensu v. *ἀποφοιτᾶν* non convenit, v. Shoemaker 164—165; de *χρυσοχοεῖν* v. etiam F. G. Welcker, Kl. Schr., Bonn 1844, 1, 368

1 *τῶν θεσμοθετῶν, οἵτινες τὰς ἀρχὰς ἐπηνάγκαζον τοῖς νόμοις χρῆσθαι* Epit. Phot. Suda || **2** *Ἱμεραίου* Maussac: *ἡμεραίου* (*-έου* G) ***Π*** || **3** *δὲ* om. *γ* || **5** *χρῆσθαι* **N** Epit.: *χρῆσθαι δῆλον* **QP** *γ* (Ald.) || **6** ut infra *ὑπόλογον* Suda: *ὑπολόγον* **ED** Phot.: *ὑπὸ λόγον* ***Π*** || **7** *εἰ γνήσιος* om. **P** || **9** *τῇ* add. Saup. | *βουλῇ* **N** Phot. Suda: *βουλή*; sensus vv. Dinarchi obscurus, cf. Shoemaker 163 || **12** *παρ' αἰσχίνου* **BG**: *παρ' αἰσχίνην* **AR** Epit.: *γὰρ Αἰσχίνου* Valck. || **14** *αὐτῷ* Epit.: *αὐτὸ* ***Π*** | *ἢ πάσχειν* del. Salmasius

δὲ τῇ παροιμίᾳ καὶ Πλάτων ἐν ε' Πολιτείας (450 b) *λέγων· τί δέ; ἦ δ' ὃς ὁ Θρασύμαχος, χρυσοχοήσοντας οἴει τούσδε νῦν ἐνθάδε ἀφῖχθαι, ἀλλ' οὐ λόγων ἀκουσομένους; ἄρξασθαι δέ φασι τὴν παροιμίαν ἐντεῦθεν. ἔπεσέ τις φήμη ποτὲ εἰς τὸ πλῆθος τὸ Ἀθηναίων ὡς ἐν Ὑμηττῷ χρυσοῦ* 5 *ψῆγμα πολὺ φανείη καὶ φυλάττοιτο ὑπὸ τῶν μαχίμων μυρμήκων. οἱ δ' ἀναλαβόντες ὅπλα ἐξέθεον ἐπ' αὐτούς. ἄπρακτοι δ' ὑποστρέψαντες καὶ μάτην κεκακοπαθηκότες ἔσκωπτον ἀλλήλους, λέγοντες „σὺ δὲ ᾤου χρυσοχοήσειν", ὅπερ δηλοῖ, σὺ δὲ ᾤου ψῆγμα πολὺ συλλέξας καὶ χρυσο-* 10 *χοήσας πλουτήσειν. ἐχλευάζοντο δὲ καὶ ὑπὸ τῶν κωμικῶν· Εὔβουλος γοῦν ἐν Γλαύκῳ* (fr. 20 K.) *φησίν·*

> *ἡμεῖς ποτ' ἄνδρας Κεκροπίδας ἐπείσαμεν*
> *λαβόντας εἰς Ὑμηττὸν ἐξελθεῖν ὅπλα*
> *καὶ ⌈σιτί'⌉ ἐπὶ μύρμηκας ἡμερῶν τριῶν,* 15
> *ὡς χρυσοτεύκτου ψήγματος πεφηνότος.*

*15. Harpocr. s. v. *Χύτροι· ... ἔστι δὲ καὶ Ἀττική τις ἑορτὴ Χύτροι, ἧς μνημονεύει Δείναρχος ἐν τῷ Κατὰ Πυθέου. ἤγετο δὲ ἡ ἑορτὴ Ἀνθεστηριῶνος τρίτη ἐπὶ δέκα, ὥς φησι Φιλόχορος ἐν τῷ Περὶ ἑορτῶν* (FGrHist 328 20 F 84).

17 Phot.(z) Suda *χ* 623 (ex Epit.); cf. Bk. *Λέξ. ῥητ.* 316, 5. de *Χύτροι* v. etiam Hiller v. Gärtringen, RE I 2, 1894, 2375; A. Müller, Griech. Bühnenaltert., 309 s. 362; Deubner, Att. Feste, 93 ss. (praecipue 112—114); FGrHist 328 F 84; Nilsson, GgrR I³, 594—597

2 *δέ* add. Epit. | *ἦ δ' ὃς ὁ* Maussac ex Platone: *ἦν δ' ὁ σὸς* (*ἦν ὁ σὸς γ*) codd. | *χρυσοχοήσοντας* Plato: *χρυσοχόος* **PG** *-χοῆς* cett. | *οἴει* Plato: *εἰς* **QPMBG**: *εἰ γ***X** ‖ **5** *πλῆθος τῶν ἀθ.* ***Π*D** Suda (om. **ASM**), *τῶν* om. **E** ‖ **7** *ἀναλαβόντες* Epit.: *ἀναλαμβάν-* (*ἀναβαίν-* *ξ*) ***Π*** | *ὅπλα* add. Epit. ‖ **10—11** *ὅπερ ... πλουτήσειν* add. Epit. ‖ **11** *καὶ* **ED** Phot.: om. ***Π*** Suda ‖ **14** *λαβόντες γ* (**V**pr) | *ὅπλα* ante *εἰς* **P** ‖ **15** *σιτί'* Vales.: *σὺ* (*συὸς* **Q**) codd.: *σῖτον* Erasmus ‖ **17** *χύτρῃ* ut infra **A**

VII. ΚΑΤΑ ΤΙΜΟΚΡΑΤΟΥΣ

1. Dionys. Halic. de Din. 10, p. 311, 10 R. *Κατὰ Τιμοκράτους· ὥσπερ δίκαιόν ἐστι.*

2. Harpocr. s. v. *λογισταὶ καὶ λογιστήρια. ἀρχή τις*
5 *παρ' Ἀθηναίοις οὕτω καλουμένη· εἰσὶ δὲ τὸν ἀριθμὸν δέκα, οἳ τὰς εὐθύνας τῶν διῳκημένων ἐκλογίζονται ἐν ἡμέραις τριάκοντα, ὅταν τὰς ἀρχὰς ἀποθῶνται οἱ ἄρχοντες· Δημοσθένης ἐν τῷ Ὑπὲρ Κτησιφῶντος* (18, 117. 229). *διείλεκται περὶ τούτων Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ*
10 (48, 3), *ἔνθα δείκνυται ὅτι διαφέρουσι τῶν εὐθύνων. μέμνηνται τῆς ἀρχῆς καὶ οἱ κωμικοί· Εὔπολις Πόλεσιν* (fr. 223 K.)·

ἄνδρες λογισταὶ τῶν ὑπευθύνων χορῶν.

λογιστήρια δ' ἐστὶ τὰ τῶν λογιστῶν ἀρχεῖα, ὡς Δείναρ-
15 *χος ἐν τῷ Κατὰ Τιμοκράτους καὶ Ἀνδοκίδης ἐν τῷ Περὶ τῶν μυστηρίων* (78) *δηλοῦσιν.*

3. Lex. Cantabr. s. v. *Πάραλος καὶ Σαλαμινία· ταύτας*

1 de Timocrate v. Kirchner, P. A. 13751; H. Schaefer, RE VI A 1, 1936, 1264 nr. 3; cf. etiam Hesperia 5, 1936, 402 (10. 169). 9, 1940, 62 (8 col. I 27) et 63 (8 col. II 21). de oratione v. Shoemaker 177—179 ‖ 4 Phot. Suda λ 651 (ex Epit.); cf. Arist. Ἀθ. πολ. 48, 3 Lex. Cantabr. Bk. Λέξ. ῥητ. 276, 17 = Et[M] 659, 32 Schol. ad Demosth. 18, 117 et 19, 211 cf. Aeschin. 1, 107. — de λογισταὶ v. A. Boeckh, Kl. Schr. 7, Leipzig 1872, 262—328; id., Staatsh.[3] 1, 239 ss. 2, 44 ss. et passim; A. S. Arvanitopoullos, Ζητήματα τοῦ ἀττικοῦ δικαίου II, Athenis 1900, passim; P. Photiades, Ἀθηνᾶ 13, 1901, 47—48; Lipsius, A. R. 101—110. 286—298; Schulthess, RE XIII 1, 1926, 1012—1019; Busolt-Swoboda, Gr. Staatsk. 1076—1080; Bonner-Smith, Admin. of Justice 2, 34—37. 257—259; R. Meiggs-D. Lewis, GHI 1, nr. 58 (= IG I[2] 91, 92); nr. 72 (= IG I[2] 324 + 306); Harrison, The Law of Athens 2, 28—31 ‖ 17 cf. Harpocr. Phot. Suda π 388 schol. ad Demosth. 8, 29; cf. schol. ad Aeschin. 3, 162. — de navibus v. A. Boeckh, Staatsh.[3] 1, 305—306; Id., Seewesen 78; M. Brillant, D. A. „trierarchia" 5, 459—460; F. Miltner, RE XVIII 3, 1949, 1209—1211; FGrHist 328 F 48

6 οἳ] καὶ N: κόδροις Γ: λόδροις B: λόγοις C ‖ 9 Ἀθηναίων om. AR ‖ 10 εὐθύνων Ddf.: -νῶν ‖ 13 ὑπευθυνῶν AR: ἐπ- BG

τὰς τριήρεις εἶχον διὰ παντὸς πρὸς τὰς ἐπειγούσας ὑπηρεσίας, ἐφ' αἷς καὶ ταμίαι τινὲς ἐχειροτονοῦντο. ἐχρῶντο δ' αὐταῖς, εἰ δέοι στρατηγὸν μεταπέμψασθαι κριθησόμενον, ὥσπερ Ἀλκιβιάδην. ἡ δὲ Πάραλος {καὶ} ἀπό τινος ἥρωος ἐπιχωρίου ἐκλήθη· τῆς μὲν Παράλου καὶ Σαλαμινίας ἐν τρίτῃ (33. 1, 2; 77, 3) *μνημονεύει Θουκυδίδης καὶ Ἀριστοφάνης ἐν Ὄρνισιν* (1204). *Ἀριστοτέλης* (*Ἀθ. πολ.* 61, 7; v. Rose, Aristot. pseudepigr. p. 397 s.) *δὲ Ἀμ⌜μων⌝ιάδα καὶ Πάραλον οἶδε, καὶ Δείναρχος ἐν τῷ Κατὰ Τιμοκράτους.* ⌜*Φιλό*⌝*χορος δὲ* (FGrHist 328 F *48) ... *ἐκαλοῦντο δὲ οἱ ἐμπλέοντες τῇ Παράλῳ Πάραλοι, ὡς καὶ παρ' Αἰσχίνῃ* (3, 162), ⌜*οἱ δὲ*⌝ *τῇ Σαλαμινίᾳ Σαλαμίνιοι.*

VIII. *ΚΑΤΑ ΛΥΚΟΥΡΓΟΥ ΕΥΘΥΝΑΙ*

1. Dionys. Halic. de Din. 10, p. 311, 11 R. *Κατὰ Λυκούργου εὔθυναι· οἶδα, ὅτι, κἂν μηδὲν ὑμῖν.*

2. Et[M] 469, 7 *μὴ ἀγνοῶμεν δέ, ὅτι καὶ ἄλλοι εἰσὶν ἱεροποιοὶ τῶν σεμνῶν θεῶν, τὸν ἀριθμὸν δέκα. Δημοσθένης*

13 de oratione v. Sauppe, O. A. 2, 329; Shoemaker 183—186. de Lycurgo v. Kirchner, P. A. 9251; Sundwall, Epigr. Beitr. (Klio Beih. IV) passim; Kunst, RE XIII 2, 1947, 2446—2465; N. C. Conomis, Lycurgi Orat. in Leocr., Lipsiae 1970, passim; Davies, APF 348—353; Rhodes, The Athen. Boule, 107—108. 219—220. — de *εὔθυναι* v. M. S. L., Att. Process 257—269; A. S. Arvanitopoullos, op. cit., 18 ss.; P. Photiades, *Ἀθηνᾶ* 13, 1901, 23—24; Lipsius, A. R. 103. 286—298; Bonner-Smith, Admin. of Justice 2, 257—259; Harrison, The Law of Athens 2, 14—15. 28—31. 90—91. 208—211 et passim || 16 cf. Phot. s. v. *ἱεροποιοί* (ad fin.). de *ἱεροποιοὶ* v. omnino G. Doermer, De Graecorum sacrificulis qui *ἱεροποιοὶ* dicuntur (Dissert. Philol. Argent. vol. VIII, Argentorati 1885), 1—75 (praecipue 7. 21. 47); Oehler, RE VIII 2, 1913, 1583—1588; P. Stengel, Die griech. Kultusaltertümer[3], München 1920, 48—50; FGrHist IIIb 1, 258 ss. et passim; Rhodes, The Athen. Boule, 127—130, et de *ἱεροποιοὶ* Eumenidum cf. et. Toepffer, A. G. 174; E. Pfuhl, De Atheniensium pompis sacris, Berolini 1900, 97—98. de situ fani Eumenidum v. Wycherley, Test. 127

3 *αὐτοῖς* cod. || 4 *καὶ* del. Meier: *δὴ* Saup. || 8 *Ἀμμωνιάδα* Meier: *ἀμοριάδα* || 10 *Φιλόχορος* Dobr.: *στησίχορος* || 12 *οἱ δὲ* Dobr.: *οἷον* cod.: *ὡς οἱ ἐν* Meier: *οἷον οἱ* Houtsma || 15 *εὔθυναι* Saup.: *εὐθύναι* ex *εὐθῦναι* F[1]

ἐν τῷ Κατὰ Μειδίου· {οὐ} περιεῖδε ⟨δὲ⟩ ταῖς σεμναῖς θεαῖς ἱεροποιὸν αἱρεθέντα ἐξ Ἀθηναίων ἁπάντων καὶ περὶ τὸν αὐτὸν καιρὸν καταρξάμενον τῶν ἱερῶν. Δείναρχος δὲ ἐν τῷ Κατὰ Λυκούργου εὐθυνῶν φησι· καὶ τὰς σεμνὰς 5 *θεὰς αἷς ἐκεῖνος ἱεροποιὸς καταστὰς δέκατος αὐτός.*

3. Harpocr. s. v. *διαγράψαντος· Δείναρχος Κατὰ Λυκούργου. μήποτε ἀντὶ τοῦ καταβαλόντος καὶ καταθέντος. ἔνιοι δὲ ἀντὶ τοῦ διὰ τραπέζης ἀριθμήσαντος, ὡς λέγομεν* 10 *ἐν τῇ συνηθείᾳ.*

4. Phot. s. v. *καταλεύσιμον· τὸν ἄξιον τοῦ καταλευσθῆναι λίθοις εἶπε Δείναρχος ἐν τῷ Κατὰ Λυκούργου.*

5. Harpocr. s. v. *τρίτον ἡμίδραχμον· Δείναρχος Κατὰ Λυκούργου. τὰς δύο ἥμισυ δραχμὰς οὕτως εἰώθασιν ὀνο-* 15 *μάζειν οἱ παλαιοί.*

IX. *ΣΥΝΗΓΟΡΙΑ ΑΙΣΧΙΝΗΙ ΚΑΤΑ ΔΕΙΝΙΟΥ*

1. Dionys. Halic. de Din. 10, p. 311, 12 R. *Συνηγορία Αἰσχίνῃ κατὰ Δεινίου· βουλοίμην ἄν, ὦ ἄνδρες.*

2. Harpocr. s. v. *ἐκμαρτυρία· διαφέρει τῆς μαρτυρίας,*

7 Phot.(z) Suda δ 534; de *διαγράφειν* v. Dareste-Haussoullier-Reinach, Rec. des inscr. jur. gr., Paris 1891, 1, 302—303; J. Hasebroek, Hermes 55, 1920, 117; B. Laum, BphW 42, 1922, 427—432 ‖ 11 Suda κ 615 cf. Bk. *Λέξ. ῥητ.* 269, 18 = Et[M] 495, 46 ‖ 13 Phot. Suda τ 1022 (ex Epit.) cf. Et[M] Bk. *Λέξ. ῥητ.* 306, 19 Pollux 9, 62 al. ‖ 16 de oratione v. Sauppe, O. A. 2, 329b; Blass 298 nr. 9; Shoemaker 190—191. de Aeschine v. Kirchner, P. A. 334, et de Dinia ibid. 3163 (dubit.); Sundwall, Nachtr. 46; Davies, APF 96 ‖ 19 Phot.(z) Suda ε 495 (ex Epit.) cf. Bk. *Λέξ. ῥητ.* 248, 3 Pollux 8, 36 schol. ad Aeschin. 2, 19; cf. 1, 107. — de *ἐκμαρτυρία* v. M. S. L., Att. Process 879—880; Thalheim, RE V 2, 1905, 2213—2214; E. Leisi, Der Zeuge im attischen Recht, Frauenfeld 1908, 97—99; Lipsius, A. R. 871—888; G. M. Calhoun, CPh 9, 1914, 139—140; Bonner-Smith, Admin. of Justice 2, 132—135; Harrison, The Law of Athens 2, 146—147; cf. etiam LXVI—LXVII, 4

1 *οὐ* del. Saup. ex Demosth. 21, 115 | *δὲ* add. Saup. ex Demosth. ‖ 2—3 *καὶ περὶ τὸν αὐτὸν καιρὸν] τρίτον αὐτὸν καὶ* Demosth. ‖ 17 *ὑμῖν·* (v. p. 86, 15) *Συνηγορία Αἰσχίνῃ κατὰ* Sylburg: *ὑμῖν συνηγορία αἰσχίνῃ· κατὰ* F ‖ 18 *Δεινίου* Meurs.: *δινίου* F

ὅτι ἡ μὲν μαρτυρία τῶν παρόντων ἐστίν, ἡ δ' ἐκμαρτυρία τῶν ἀπόντων, σαφέστατα δὲ περὶ τούτων διδάσκουσι Δημοσθένης τε ἐν τῷ Κατὰ Στεφάνου (46, 7) *καὶ Δείναρχος ἐν τῷ Ὑπὲρ Αἰσχίνου κατὰ Δεινίου.* cf. et. Din. LXVI–LXVII, 3 et 4. 5

3. Harpocr. s. v. *κλιμάζῃ· Δείναρχος ἐν τῷ ἐπιγραφομένῳ Συνηγορίᾳ Αἰσχίνῃ κατὰ Δεινίου· ὅταν οὖν ἀπολογούμενος κλιμάζῃ καὶ παράγῃ τοὺς νόμους ἀντὶ τοῦ παρακλίνῃ καὶ παρατρέπῃ· μήποτε δὲ δεῖ γράφειν βλιμάζῃ, ἵν' ᾖ οἷον θλίβῃ καὶ βιάζηται.* cf. Phot. nr. 2. 10 Suda κ 1804 *κλιμακίζειν· μέμνηται Δείναρχος ἐν τῇ Ὑπὲρ Αἰσχίνου εἰσηγορίᾳ* (sic), *λέγων· οὗτος κλιμακίζει τοὺς νόμους. ἔστιν δὲ οἷον παράγει καὶ διαστρέφει, ἴσως ἀπὸ τῆς κλίμακος εἰρημένου τοῦ ὀνόματος, ἥτις οὖσα ὄργανον βασανιστικὸν διαστρέφει τὰ σώματα τῶν* 15 *βασανιζομένων* ...

4. Harpocr. s. v. *παραφρυκτωρεῖν· Δείναρχος ἐν τ[ῇ] Κατὰ Δεινίου ἐνδείξει. τὸ τοῖς φρυκτοῖς παρὰ τὸ προσῆκον χρῆσθαι, τουτέστιν ἐπὶ συμφέροντι μὲν τῶν πολεμίων, ἐπὶ βλάβῃ δὲ τῶν φιλίων, οὕτως ἔλεγον, ὡς αὐτὸς ὁ ῥήτωρ ἐν* 20 *τῷ λόγῳ {αὐτὸ} ἐξηγήσατο.*

6 Phot. (cf. et s. v. *κλιμακίζειν*) Suda κ 1802 (cf. et. 1804); cf. Bk. *Λέξ. ῥητ.* 221, 19 Et^{M} 200, 54. 322, 38 Cram. Anecd. Oxon. 2, 496, 27 Lex. Vindob. 109, 4 al. ‖ 17 Phot. Suda π 486 Cram. Anecd. Oxon. 2, 498, 9 (ex Epit.); cf. et. Suda π 485 Bk. *Λέξ. ῥητ.* 298, 13 (*παραφρυκτωρεύεσθαι* quae est forma iusta)

3 *περὶ στεφ.* **ABG** ‖ 4 *δεινίου* G: *δινίου* cett. ‖ 6 *κλιμάζῃ* **Π** Suda An. Ox.: *-άζει* **ED** Phot. *-ακίζει* Sudae **A**; verum ut infra *κλιμακίζει* ut vid. Cobet, Coll. crit. 172 ‖ 7 *Αἰσχίνῃ* Vales.: *αἰσχίνης* codd. | *δεινίου* **BG**: *δινίου* cett. | *ὅταν*] '*οὗτος*, quod in Suda legitur, placet Bernhardyo, ita ut ubique indicativos restitui velit' Saup. ‖ 8 *παράγῃ* **ΠD** Suda: *-άγει* **E** Phot. ‖ 9 *παρακλίνῃ* **Π**: *-νει* Epit. | *παρατρέπῃ* **Π**: *-πει* Epit. ‖ 10 *βλιμάζῃ* **K** et ci. Blancard: *-άζει* **QPM***γ*: *-άζειν* **NZBGED** Phot.: *κλιμάζειν* **X** | *ἵν' ᾖ* **Π**: *ἀντὶ τοῦ* Epit. | *θλίβῃ* **NK**: *-βει* cett. Epit. | *βιάζηται* **MNK**: *-εται* cett. Epit. ‖ 17–18 *Δείν.... ἐνδείξει* om. **Π** ‖ 17 *τῇ* Maussac: *τῷ* codd. ‖ 19 *ἐπὶ*² om. **B** ‖ 20 *ὡς* etc. om. **P** | *αὐτὸς ὁ ῥήτωρ* Ddf.: *ὁ αὐτὸς ῥ.* codd. ‖ 21 *αὐτὸ* del. Ddf.: *αὐτοῦ* **Q***ξ*

5. Harpocr. s. v. *πινάκια· τὰ καθιέμενα ἀντὶ κλήρων ὑπὸ τῶν κληρουμένων. ἔοικε δ' εἶναι ταῦτα χαλκᾶ ὡς ἑξῆς ὑποσημαίνει ὁ ῥήτωρ. ἐν δὲ τοῖς Φιλιππικοῖς* (8, 28) *ὅταν λέγῃ „μικρόν, ὦ Ἀθηναῖοι, μικρὸν πινάκιον πάντα τὰ ἐν-*
5 *ταῦθα“, τυχὸν πινάκιον λέγει εἰς ὃ ἐγγράφεται τὰ ἐγκλήματα τὰ κατὰ τῶν εἰσαγγελλομένων, ὡς καὶ παρὰ Δεινάρχῳ ἐν Συνηγορίᾳ Αἰσχίνῃ δείκνυται.*

6. Harpocr. s. v. *φρυκτωρῶν· φρυκτωρεῖν ἐστι κυρίως τὸ διὰ πυρσῶν ἀνατεινομένων σημαίνειν ὁτιοῦν· Δείναρχος*
10 *ἐν τῇ Αἰσχίν[ῃ συν]ηγορίᾳ κατὰ Δεινίου.*

X. *ΚΑΤΑ ΦΟΡΜΙΣΙΟΥ ΑΣΕΒΕΙΑΣ*

1. Dionys. Halic. de Din. 10, p. 311, 13 R. *Κατὰ Φορ⟨μισίου⟩ ἀσεβείας· ἆρά γ' εἴ τινες.*

2. Harpocr. s. v. *ἀποβάτης καὶ ἀποβαίνειν καὶ ἀπο-*
15 *βατικοὶ τρόχοι. Δείναρχος Κατὰ Φορμισίου καὶ ἐν τῇ πρὸς Ἀντιφάνην ἀπολογίᾳ* (LXXI–LXXII), *Λυκοῦργός*

1 Phot. Suda *π* 1610 (ex Epit.) schol. ad Demosth. 8, 28. 39, 12; cf. Bk. *Λέξ. ῥητ.* 288, 32. 299, 3. — de re v. Arist. *Ἀθ. πολ.* 48, 4 et de *πινάκια* omnino E. Berneker, RE XX 2, 1950, *Πίναξ* nr. 2 (col. 1408—1409); I. A. Meletopoulos, *Δικαστικὰ πινάκια καὶ χαλκία, Πολέμων* 3, 1947/8, 33—40 ‖ 8 Phot.(z) *φρυκτωρεῖ* Suda *φ* 757 (ex Harpocr.); cf. Et^{M} 801, 23 ‖ 11 de oratione v. Sauppe, O. A. 2, 330a; Blass 298 nr. 10; Shoemaker 195—197. — de Phormisio v. Kirchner, P. A. 14946 ‖ 14 Bachm. Anecd. 123, 18 Et^{M} al. — de *ἀποβάτης* v. E. Saglio, D. A. „desultores“ 2, 1, 111—113; Reisch, RE I 2, 1894, 2814—2817; N. C. Conomis, Klio 39, 1961, 97; Wycherley, Test. 80—81 (nr. 216)

1—2 gl. valde corrupta; fort. *πινάκια· ⟨Δημοσθένης ἐν τῷ Περὶ τοῦ ὀνόματος* (39, 12) *εἴρηκε⟩* monet Keaney: *πινάκια* lac. *περὶ … κλήρων. ἔοικε … ταῦτα* lac. *ὡς* etc. ***Π***: *πινάκια, τὰ … ὡς ὑποσημαίνει δημ.… ὀνόματος. ἐν δὲ … εἰσαγγελλομένων* Epit. ‖ 2 *ὑπὸ τῶν κληρουμένων* Valck.: *ὑπὸ τῶν κληρονόμων* (*τοῖς κληρουμένοις* **N**) codd. (om. **A**): *ὑπὸ τῶν κληρούντων* Vales. ‖ 3 *σημαίνει* **AVB** ‖ 8 *φρυκτωρῶν*] *-εῖν* **MB** (om. **G**) ‖ 9 *πυρσῶν* **P** Sudae (**G**): *πυρῶν* ***Π*ED** Sudae (**V**): *πυρσοὺς* Sudae (**AM**) | *Δείν.* etc. om. **P** ‖ 10 *Αἰσχίνῃ* Bk.: *-ίνου* ***Π*** | *συνηγορίᾳ* edd.: *κατηγορίᾳ* ***Π*** | *δεινίου* **B**: *διν.* cett. ‖ 12.13 *Φορμισίου ἀσεβείας* Meurs.: *φορασεβίας* **F** ‖ 15 *τρόχοι* ut infra Bl.: *τροχοί* codd.

τε ἐν τῇ Πρὸς Δημάδην ἀπολογίᾳ (IV Con.). *ὁ ἀποβάτης ἱππικόν τι ἀγώνισμα, καὶ ἀποβῆναι τὸ ἀγωνίσασθαι τὸν ἀποβάτην, καὶ ἀποβατικοὶ τρόχοι οἱ ἀπὸ τούτου τοῦ ἀγωνίσματος. τὰ δ' ἐν αὐτῷ γινόμενα δηλοῖ Θεόφραστος ἐν τῷ κ' τῶν Νόμων* (fr. 23 Hager = JPh 6, 1876, 5—6), 5
χρῶνται δέ, φησί, τούτῳ μόνοι τῶν Ἑλλήνων Ἀθηναῖοι καὶ Βοιωτοί.

3. Phot. s. v. Suda *η* 229 *ἠλινδημένον· ἀντὶ τοῦ ἀνεστραμμένον· Δείναρχος ἐν τῷ Κατὰ Φορμισίου, ὅπερ Ἰσοκράτης καλινδεῖσθαι* (5, 81. 13, 20. 15, 30. 213) *λέγει.* 10

4. Harpocr. s. v. *προστρόπαιον· Αἰσχίνης Περὶ τῆς πρεσβείας* (2, 158)· *ἐάσετε οὖν αὐτὸν τὸ τοιοῦτον προστρόπαιον, ἀντὶ τοῦ ἄγος καὶ τὸ μίασμα. καὶ προστροπὴ δὲ παρὰ τοῦτο λέγεται· ἐν γοῦν τῷ Κατὰ Κτησιφῶντος* (3, 110) *ἐκ παραλλήλου τίθησι τὰ ὀνόματα ὁ ῥήτωρ.* 15
κεῖται δὲ τοῦτο τὸ ὄνομα καὶ παρὰ Δεινάρχῳ ἐν τῷ Κατὰ Φορμισίου ἀσεβείας.

5. Harpocr. s. v. *ὑποφόνια· τὰ ἐπὶ φόνῳ διδόμενα χρήματα τοῖς οἰκείοις τοῦ φονευθέντος, ἵνα μὴ ἐπεξίωσιν· Δείναρχος ἐν τῷ Κατὰ Καλλισθένους* (fr. XIX 13) *καὶ ἐν* 20
τῷ Κατὰ Φορμισίου, Θεόφραστος Νόμων ις' (fr. 18 Hager = JPh 6, 1876, 3).

8 cf. Bk. *Λέξ. ῥητ.* 262, 27 ‖ 11 Phot. Suda *π* 2829 (ex Epit.); cf. Et^{M} 700, 10 schol. ad Aeschin. 2, 158. 3, 110 ‖ 18 Phot. (ex Epit.) Suda *υ* 633 (ex Epit. + Rhet.) cf. Et^{G} = Et^{M} 784, 26 (ex Epit. sed ultimis verbis omissis) Bk. *Λέξ. ῥητ.* 313, 5 Cram. Anecd. Oxon. 2, 500, 1. — de *ὑποφόνια* v. Glotz, Solidarité 306—321; Bonner-Smith, Admin. of Justice 2, 196—198; MacDowell, Athen. homicide law, Manchester 1966, 9

11—13 *Αἰσχ. ... προστρόπαιον* om. **P** ‖ 12 *ἐάσετε* Aeschin.: *ὅσα τε* codd. | *αὐτὸν* Aeschin.: *αὐτὸ* **ZBG**: *αὐτὸς* cett. ‖ 14 *παρὰ τοῦτο*] *καὶ ἄρα τοῦτο* Saup. | *ἐν γοῦν* etc. om. **P** ‖ 16 *τοὔνομα* **Q**ξ ‖ 17 *φορμίωνος* ξ ‖ 19 *φονευθέντος*] *ἀναιρεθέντος* Phot. Suda

XI. ΚΑΤΑ ΚΑΛΛΑΙΣΧΡΟΥ ΠΕΡΙ ΤΩΝ ΤΙΜΩΝ

1. Dionys. Halic. de Din. 10, p. 311, 14 R. *Κατὰ Καλλαίσχρου περὶ τῶν τιμῶν· πολλάκις, ὦ Ἀθηναῖοι.*

5 **2.** Harpocr. s. v. *Κηφισόδωρος· — ἕτερος δ' ἂν εἴη Κηφισόδωρος, ὃς ἵππαρχος ὢν ἐν Μαντινείᾳ μετὰ Γρύλλου τοῦ Ξενοφῶντος ἀπέθανεν, οὗ μνημονεύει Δείναρχος ἐν τῷ Κατὰ Καλλαίσχρου.* cf. Lyc. XIV 9 Con.

3. Harpocr. s. v. *κύκλοι· Δείναρχος ἐν τῷ Κατὰ Καλλ-*
10 *αίσχρου. κύκλοι ἐκαλοῦντο οἱ τόποι ἐν οἷς ἐπωλοῦντό τινες· ὠνομάσθησαν δὲ ἀπὸ τοῦ κύκλῳ περιεστάναι τοὺς πωλουμένους. Μένανδρος Ἐφεσίῳ* (fr. 171 Koerte)·

ἐγὼ μὲν ἤδη μοι δοκῶ, νὴ τοὺς θεούς,
ἐν τοῖς κύκλοις ἐμαυτὸν ἐκδεδυκότα
15 *ὁρᾶν κύκλῳ τρέχοντα καὶ πωλούμενον.*

XII. ΤΥΡΡΗΝΙΚΟΣ

1. Dionys. Halic. de Din. 10, p. 311, 15 R. *Τυρρηνικός· ἅπαντα συμβήσεσθαι ἔτι.*

1 de oratione v. Blass 298 nr. 11; Shoemaker 199. de Callaeschro v. Kirchner, P. A. 7756 || 5 Phot. Suda κ 1566 (ex Epit.); Paus. 8, 9, 10; Diog. Laert. 2, 54 || 9 Phot. Suda κ 2654 fin. (ex Epit.); cf. Pollux 7, 11. 10, 18 Hsch. κ 4478. — de re v. W. A. Becker, Charicles, bearb. von H. Göll, Berlin 1877, 2, 195—196; R. E. Wycherley, The Market of Athens. Topography and Monuments, Greece and Rome, 2nd ser. 3, 1956, 9—10; Wycherley, Test. p. 188—189 || 16 de oratione v. A. Boeckh, Staatsh.[3] 212—213. 306—307; id., Seewesen 459; Schäfer, Demosth.[2] 3, 298—300; Tod, GHI 2, 288; cf. etiam G. Vallet, Athènes et l'Adriatique, MEFR 62, 1950, 33—52; A. Gitti, La colonia ateniese in Adriatico del 325/4 A. C., PP 9, 1954, 16—24; L. Braccesi, Grecità adriatica, Bologna 1971, 170—188; fr. 6 apud Sauppe, O. A. 2, 331a ut dubium omittitur

3 *Καλλαίσχρου* Victor.: *καλαίσχρου* F || 4 ὦ F hic et fere passim: *ὦ ⟨ἄνδρες⟩ Ἀθ.* Raderm. || 6 *ὕπαρχος* Epit. || 13 *μὲν* N Casaub.: *μὲν οὖν* cett. | *ἤδη*] *δὴ* K || 14 *ἐκδεδυκότα* B: *ἐνδεδ.* cett. || 17 *Τυρρηνικός* Vales.: *πιρηνικός* F || 18 *ἔτι*] *εἰκός ἐστι* Rei.

2. Harpocr. s. v. *κέρκουρος· εἶδός τι νεώς· Δείναρχος Τυρ⌈ρη⌉νικῷ.*

3. Harpocr. s. v. *Λιπάρα· Δείναρχος Τυρ⌈ρη⌉νικῷ. μία τῶν καλουμένων Αἰόλου νήσων περὶ τὴν Σικελίαν ἡ Λιπάρα, ὡς Εὔδοξος ζ' Περιόδου* (fr. 326 Lasserre). 5

4. Harpocr. s. v. *οἴκημα· ἀντὶ τοῦ δεσμωτήριον Δείναρχος ἐν Τυρ⌈ρη⌉νικῷ καὶ ἐν τῷ Κατὰ Ποσειδίππου* (LIII 2), *ἀντὶ δὲ τοῦ πορνεῖον Αἰσχίνης ἐν τῷ Κατὰ Τιμάρχου* (1, 74. 123).

5. Harpocr. s. v. *περίστασιν· Δείναρχος Τυρ⌈ρη⌉νικῷ·* 10 *μετὰ ταῦτα τοῦ Δάμωνος ἤδη περὶ ἀναγωγὴν ὄντα με περίστασιν ποιησαμένου καὶ μαρτυρεῖν ἀξιοῦντος καὶ τὰ ἑξῆς. μήποτε τοιοῦτόν ἐστι τὸ λεγόμενον, ἐν κύκλῳ περιέστη με αὐτὸς καὶ οἱ συμπαρόντες αὐτῷ, καὶ μαρτυρεῖν ἠνάγκαζον, ἵνα τὴν αὐτὴν ἔννοιαν ἔχῃ* 15 *τ⌈ῷ⌉ περίστατόν με ἐποίησαν. ἐν ἐνίοις δὲ παράστασιν γράφεται.*

6. Harpocr. s. v. *Στρο⌈φά⌉δες νῆσοι· Δείναρχος Τυρ⌈ρη⌉νικῷ. νῆσοί τινές εἰσι μεταξὺ Ζακύνθου καὶ Ἤλιδος κείμεναι.* 20

1 Phot. Suda *κ* 1404 (ex Epit.) cf. Hsch. Et[M] 506, 15 Bk. *Λέξ. ῥητ.* 272, 30. — de *κέρκουρος* v. Assmann, RE III 2, 1899, 1969; Torr, Ancient Ships 110—111 ‖ 3 Phot. Suda *λ* 576 (ex Epit.); de insula v. Ziegler, RE XIII 1, 1926, 719—721 ‖ 6 Phot. Suda *οι* 51 (ex Epit.); cf. Pollux 9, 45 Hsch. schol. ad Plat. Charm. 163b Hellad. ap. Phot. bibl. 535a 6 ‖ 10 Phot. Suda *π* 1296 (ex Epit.) ‖ 18 Phot. Suda *σ* 1212 (ex Epit.), cf. Steph. Byz. s. v. — de insulis v. Creutzburg, RE IV A 1, 1931, 374—376

2 *Τυρρηνικῷ* Blancard: *τυραννικῷ* ‖ 3 *Τυρρηνικῷ* hic et infra Vales.: *τυραννικῷ* ‖ 4 *περὶ* Epit.: *παρὰ* **Π** ‖ 5 *εὔδοξος* **V**: *ἔνδ.* cett. ‖ 6 *Δείν.* om. **Q** ‖ 7 *ποσειδίππου* **PAV**: *ποσιδ.* cett. ‖ 10 gl. om. **P** ‖ 11 *ἀναγωγὴν*] *ἀγωγὴν* **Qξ** ‖ 11—13 *ἀναγωγὴν ὄντος, περίστασιν ποιοῦσί μου, καταμαρτυρεῖν ἀξιοῦντες* Dobr. ‖ 12 *ποιησαμένου* Bk.: *ποιήσουσιν οὗ* (*οἷς* **BG**) *καὶ* codd. (*ποιήσαντος* **N**) ‖ 14 *περιέστη* **Π** Epit.: *περιέστηκεν* **NA**: *περιέσται* **ξ** | *με* Epit.: *μὲν* **Π** (om. **NA**) ‖ 15 *ἠνάγκαζον* **MNKVR** Epit.: *ἠνέγκαζον* **Q**: *ἠνέγκατον* **A** *ἢ ἀναγκάζειν* **ξ** ‖ 16 *τῷ* Blancard: *τὸ* | *ἐποίησαν* edd. post Maussac qui *περίστατον μετεποίησαν*: *ἐποίησεν* **NAVB** ‖ 17 *γράφεται* **ABG**: *ἀντὶ τοῦ περίστατον γράφεται* Ald. ‖ 18—19 *στροφάδες ... τυρρηνικῷ* om. **P** ‖ 18 *Στροφάδες* Vales.: *στρομβίδες* **Π**: *στρομφίδες* Epit. ‖ 19 *Ζακύνθου* Epit.: *κύνθου* **Π**

XIII. *ΚΑΤΑ ΔΙΟΝΥΣΙΟΥ ΤΟΥ ΕΠΙ ΤΗΣ ΔΙΟΙΚΗΣΕΩΣ*

1. Dionys. Halic. de Din. 10, p. 311, 16 R. *Κατὰ Διονυσίου τοῦ ἐπὶ τῆς διοικήσεως· ἴσως μέν, ὦ Ἀθηναῖοι.*

5 2. Bk. *ΔΟ* 191, 27 *ὀργεῶνές εἰσιν οἱ κοινωνοῦντες ἀλλήλοις θεῶν ⟨ἢ⟩ ἡρώων ἐν ἱεροῖς καὶ κοινῇ θυηπολοῦντες, ὡς ⌐Δείναρχος¬ λέγει ἐν τῷ Κατὰ Διονυσίου. καὶ πάλιν ὀργεῶνες τίνες, ἐν Ἀπολογίᾳ ὕβρεως* (LXV 2) *σαφὲς ποιεῖ. οὗτοί εἰσιν οἱ τοῖς ἰδίᾳ ἀφιδρυμένοις θεοῖς ὀργιάζον-*
10 *τες καὶ τῶν ἱερῶν δὲ ⌐κοινωνοῦντες¬ ὀργεῶνας ἑαυτοὺς {ἀλλήλους} ἐκάλουν.*

1 de oratione v. Meier ap. Kiessling, Lyc. deperd. oratt. fr., Halis Saxonum 1847, p. XVII; Shoemaker 206—207. — de officio *ὁ ἐπὶ τῆς διοικήσεως* v. Boeckh, Staatsh.[3] 1, 203—205 et passim; Brandis, RE V 1, 1903, 787—789; H. Francotte, Les finances des cités grecques, Liège-Paris 1909, 234—235; Busolt-Swoboda, Gr. Staatsk. 1146ss.; Andreades, A History of Greek Public Finance, transl. C. N. Brown, Cambridge Mass. 1933, 374—376; W. K. Pritchett, Hesperia 9, 1940, 108—111; B. Meritt, ibid. 29, 1960, 3—4 || 5 cf. Harpocr. s. v. *ὀργεῶνας*, Phot. Suda *ο* 512 cf. 511 (ex Epit.). — de *ὀργεῶνες* v. Ch. Lécrivain, D. A. „orgeones" 4, 1, 235—236; Wilamowitz, Arist. u. Ath. 2, 269—270; W. S. Ferguson, The Athenian Phratries, CPh 5, 1910, 257—284; M. Guarducci, Orgeoni e tiasoti, RFIC N. S. 13, 1935, 332—340; W. S. Ferguson, The Salaminioi of Heptaphylai and Sounion, Hesperia 7, 1938, 1—74 passim; E. Ziebarth, RE XVIII 1, 1939, 1024—1025; id., The Attic Orgeones, Harv. Theol. Rev. 37, 1944, 61—140; id., Orgeonika, Hesperia Suppl. 8, 1949, 130—163; N. I. Pantazopoulos, *Αἱ ἑλληνικαὶ „κοινωνίαι"*, Athenis 1946, 58—69 et passim; id., *Ὀργεῶνες, Πολέμων* 3, 1948, 97—127; FGrHist 328 F 35 et 341 F 1; Nilsson, GgrR I[3] 710. II[2] 117; A. Andrewes, Philochoros on Phratries, JHS 81, 1961, 8ss.; N. G. L. Hammond, Studies in Greek History, Oxford 1973, 105—115

3 *ἔτι* (v. p. 91, 18). *Κατὰ* Rei.: *ἔτι κατὰ* F || 4 *ὦ ⟨ἄνδρες⟩ Ἀθ.* Raderm. || 6 *ἢ* add. Ruhnk. || 7 *Δείν.* Ruhnk.: *χάρης* || 9 *οὗτοί εἰσιν* vel *ὀργεῶνας ἑαυτοὺς ἐκάλουν* (10) fort. delenda || 10 *κοινωνοῦντες* Saup.: *κρίνοντες* || 11 *ἀλλήλους* del. Saup.; fort. *ἱερῶν κοινωνοῦντες ἀλλήλοις ὀργεῶνας ἑαυτοὺς ἐκάλουν*

XIV. *ΚΑΘ' ΙΜΕΡΑΙΟΥ ΕΙΣΑΓΓΕΛΤΙΚΟΣ*

1. Dionys. Halic. de Din. 10, p. 311, 17 R. *Καθ' Ἱμε-ϱ⟨α⟩ίου εἰσαγγελτικός· οὐδένα νομίζω, ὦ Ἀθηναῖοι.*
2. Harpocr. s. v. *Ἀμμωνίς· ἡ τοῦ Ἄμμωνος ἱερὰ τρι-ήρης· Δείναρχος ἐν τῷ Κατὰ Ἱμεραίου.* 5
3. Harpocr. s. v. *νομοφύλακες· ἀρχή τις παρ' Ἀθη-ναίοις οὕτως ἐκαλεῖτο, διαφέρουσα τῶν θεσμοθετῶν· Δεί-ναρχος Καθ' Ἱμεραίου καὶ ἐν τῷ Κατὰ Πυθέου* (VI 12). *Φιλόχορος δὲ ἐν* {*τῷ*} *ζ'* (FGrHist 328 F 64) *ἄλλα τέ τινα διεξῆλθε περὶ αὐτῶν, καὶ ὅτι οὗτοι τὰς ἀρχὰς ἐπ-* 10 *ηνάγκαζον τοῖς νόμοις χρῆσθαι.*

XV. *ΚΑΤΑ ΠΙΣΤΙΟΥ ΕΙΣΑΓΓΕΛΙΑ*

TESTIMONIA

[Plut.] Vitae X orat. 842f–843a *ἔσχε* (sc. *Λυκοῦργος*) *δὲ τρεῖς παῖδας ἐκ Καλλιστοῦς τῆς Ἄβρωνος μὲν θυγα-τρός, Καλ⌈λ⌉ίου δὲ τοῦ Ἄβρωνος Βατῆθεν ἀδελφῆς, τοῦ* 15

1 de oratione v. FGrHist 328 F 48 „delivered at the end of the twenties"; Shoemaker 208–212. — de Himeraeo, Demetrii Phalerei fratre, pace Marenghi, Dinarco 127, v. Schäfer, Demosth.[2] 3/1, 327–328; Blass 310–311; Kirchner, P.A. 7578; Berve-Schoch, RE Suppl. IV, 1924, 743; E. Bayer, Demetrios Phalereus 129–132; FGrHist 328 F 64 n. 14; Davies, APF 108 ‖ 4 Phot.(bz); de *Ἀμ-μωνὶς* v. Boeckh, Staatsh.[3] 1, 212–213. 306–307; 2, 121; id., Seewesen III, XVIII–XIX. 79–82; Wilamowitz, Arist. u. Ath. 1, 209; Luebeck, RE I 2, 1894, 1861; J. E. Sandys, Aristotle's Constitution of Athens, London 1912, 244–245; FGrHist 328 F 48 ‖ 6 v. ad fr. VI 12 ‖ 12 de oratione v. Sauppe, O. A. 2, 331a; Schäfer, Demosth.[2] 3, 330 n. 5; Blass 299 nr. 15; Shoemaker 215–216. — de Pistia v. Kirchner, P.A. 11823; Th. Lenschau, RE XX 2, 1950, 1811

2 *Καθ' Ἱμεραίου* Maussac: *καθιμερίου* F ‖ 3 *ὦ* ⟨*ἄνδρες*⟩ *Ἀθ.* Raderm. ‖ 5 *ἡμεραίου* AB ‖ 8 *ἱμερ.* P et ci. Maussac: *ἡμερ.* cett. ‖ 9 *τῷ* cum Jac. omisi ‖ 15 *Καλλίου* Salmas.: *καλαιοῦ*

ταμιεύσαντος στρατιωτικῶν ἐπὶ Χαιρώνδου ἄρχοντος· περὶ δὲ τῆς κηδείας ταύτης λέγει ὁ Δείναρχος ἐν τῷ Κατὰ Π[ι]στίου.

FRAGMENTA

1. Dionys. Halic. de Din. 10, p. 311, 18 R. *Εἰσαγγελία*
5 *Κατὰ Πιστίου· ὥσπερ καὶ ὑμῶν ἕκαστος.*

2. Harpocr. s. v. *βουλεύσεως· ἐγκλήματος ὄνομα ἐπὶ δυοῖν ταττόμενον πραγμάτοιν· τὸ μὲν γάρ ἐστιν ὅταν ἐξ ἐπιβουλῆς τίς τινι κατασκευάσῃ θάνατον, ἐάν τε ἀποθάνῃ ὁ ἐπιβουλευθεὶς ἐάν τε μή, τὸ δ' ἕτερον ὅταν ἐγγε-*
10 *γραμμένος ὡς ὀφείλων τῷ δημοσίῳ αὐτὸς δικάζηταί τινι ὡς οὐ δικαίως αὐτὸν ἐγγεγραφότι. τοῦ μὲν οὖν προτέρου μάρτυς Ἰσαῖος ἐν τῷ πρὸς Εὐκλείδην* (fr. 62 Turr.), *ἐπὶ Παλλαδίῳ λέγων εἶναι τὰς δίκας, Δείναρχος δὲ ἐν τῷ Κατὰ Πιστίου ἐν Ἀρείῳ πάγῳ. Ἀριστοτέλης δ' ἐν τῇ*
15 *Ἀθηναίων πολιτείᾳ* (57, 3) *τῷ Ἰσαίῳ συμφωνεῖ. περὶ δὲ τοῦ ἑτέρου ἐγκλήματος Δημοσθένης ἐν τῷ Κατ' Ἀριστογείτονος α'* (25, 71. 73). *Ὑπερείδης δ' ἐν τῷ Κατ' Ἀθηνογένους α'* (5, 18) *ἐπὶ ἐνέδρας καὶ ἐπιβουλῆς τῆς εἰς χρήματα ἰδίως κέχρηται τῷ ὀνόματι.*

6 Phot. (z) 2 cf. et 1 Suda *β* 429 (ex Epit.); cf. Bk. *Λέξ. ῥητ.* 220, 11 al. — de bouleusi v. E. Caillemer, D. A. „bouleuseos graphé" (1, 744—746); M. S. L., Att. Process 384—386. 415—419 et passim; P. Photiades, *Ἀθηνᾶ* 11, 1899, 12—25; A. S. Arvanitopullo, Questioni di diritto attico, Roma 1899, 32. 37—38. 43—47; Lipsius, A. R. 125—127. 612—614; Ch. Lécrivain, Mél. Glotz, Paris 1932, 527—531; Conomis, Klio 39, 1961, 91—92; MacDowell, Athenian Homicide Law 61—68. falsum videtur Areopagum de bouleusi iudicavisse; cf. Ch. Lécrivain, Notes de droit pénal grec, I La bouleusis, Mél. Glotz l. l. et iam Lipsius, A. R. 126; v. etiam L. Gernet, Antiphon, Paris 1954, 139; MacDowell l. l. (qui putat causas omnes iudicari apud iudicium *ἐπὶ Παλλαδίῳ*)

1 *χαιρώνδου* P_2 Ald.: *χαρώνδου* ‖ 3 *Πιστίου* Meurs. ex Harpocr. s. v. *βουλεύσεως*: *παστίου* ‖ 7 *δυοῖν*] *δυεῖν* **QNXD** | *πραγμάτοιν* **KE** Suda: *-των* cett. ‖ 9 *ὅταν*] *ὅταν τις* Epit. ‖ 11 *γεγραφότι* Epit. *ξ* ‖ 13 *εἶναι*] *εἰσάγεσθαι* Epit. ‖ 14 *Πιστίου τοῦ Ἀρεοπαγίτου* Maetz. ‖ 18 *εἰς τὰ χρήματα* **K** *γ*

XVI. *ΚΑΤ' ΑΓΑΣΙΚΛΕΟΥΣ ΕΙΣΑΓΓΕΛΙΑ ΞΕΝΙΑΣ*

TESTIMONIA

1. Hyper. 3, 3 *νυνὶ δὲ τὸ γιγνόμενον ἐν τῇ πόλει πάνυ καταγέλαστόν ἐστιν. Διογνίδης μὲν καὶ Ἀντίδωρος ὁ μέτοικος εἰσαγγέλλονται ὡς πλέονος μισθοῦντες τὰς αὐλητρίδας ἢ ὁ νόμος κελεύει, Ἀγασικλῆς δ' ὁ ἐκ Πειραιέως ὅτι εἰς Ἁλιμουσίους ἐνεγρά[φη], Εὐξένιππος δ' ὑπὲρ τῶν ἐνυπνίων ὧν φησιν ἑω[ρακέ]ναι· ὧν οὐδεμία δήπου τῶν αἰτιῶν τούτων οὐδὲν κοινωνεῖ τῷ εἰσαγγελτικῷ νόμῳ.*

2. Harpocr. s. v. *Ἀγασικλῆς· περὶ Ἀγασικλέους Ὑπερείδης* (3, 3) *λέγει. γέγραπται καὶ Δ⌈ειν⌉άρχῳ λόγος κατ' αὐτοῦ, ἐν ᾧ δεδήλωται ὅτι Ἁλιμουσί⌈ους⌉ συνεδ⌈έ⌉κασε καὶ διὰ τοῦτο ξένος ὢν τῇ πολιτείᾳ ἐνεγράφη.*

FRAGMENTA

1. Dionys. Halic. de Din. 10, p. 311, 19 R. *Κατ'* ⌈*Ἀγα*⌉*σικλέους εἰσαγγελία ξενίας· οὐδένα πώποτε οἶμαι.*

2. Harpocr. s. v. *ἀπόταφος· ἀντὶ τοῦ ἀπεστερημένος τῶν προγονικῶν τάφων Δείναρχος ἐν τῇ Κατ' Ἀγασικλέους εἰσαγγελίᾳ.*

3. Harpocr. s. v. *εὐανδρία· Δείναρχος ἐν τῷ Κατ'*

1 de oratione v. Sauppe, O. A. 2, 331b; Blass 299 nr. 16; et. FGrHist 328 F 102 n. 1; Shoemaker 221—224 ‖ **10** Bachm. Anecd. 12, 22 Phot.(bz) Suda *α* 169 (ex Epit.); de Agasicle v. Kirchner, P. A. 100 ‖ **16** Bachm. Anecd. 135, 8 = Cram. Anecd. Oxon. 2, 490, 24 Phot.(z) Suda *α* 3584 (ex Epit.) Lex. Vind. p. 8, 13 (Nauck) Et^{M} 131, 44. — de sensu v. et. Dttb. Syll.[3] nr. 1258 ‖ **19** Phot.(bz) Suda *ε* 3370 (ex Epit.) Bk. *Λέξ. ῥητ.* 257, 13 *εὐανδρία· ἀγών τις εὐανδρίας τοῖς Παναθηναίοις ἀγόμενος, οὗ κοινωνεῖν οὐκ ἐξῆν τοῖς ξένοις.* — de *εὐανδρία* v. Mommsen, Heortologie 166—169; E. Cahen, D. A. „Panathenaia“ (4, 1, 310a); Jüthner, RE VI 1, 1907, 839; FGrHist 328 F 102

10 *Ἀγασικλῆς* add. Epit. (Ald.) ‖ **11** *Δεινάρχῳ* Maussac: *δημάρχῳ* ‖ **12** *Ἁλιμουσίους συνεδέκασε* Meier: *ἁλιμουσίνοις* (*-ίοις* Maussac) *συνεδίκασε* | *καὶ* om. **VBG** ‖ **14** *Κατ' Ἀγασικλέους* Meurs.: *κατὰ πισικλέους* **F**: *κατὰ Πασικλέους* Rei. dubit. ‖ **15** *εἰσαγγελία· Ξενίας οὐδένα* Saup.

Ἀγασικλέους. Παναθηναίοις εὐανδρίας ἀγὼν ἤγετο. Ἀνδοκίδης [τ'] ἐν τῷ Κατ' Ἀλκιβιάδου (4, 42) δηλοῖ καὶ Φιλόχορος (FGrHist 328 F 102).

4. Harpocr. s. v. προμετρητάς· Ὑπερείδης ἐν τῷ Περὶ
5 τοῦ ταρίχους (fr. 184 J.). Δείναρχος Κατ' Ἀγασικλέους· Σκύθου τοίνυν τοῦ προμετρητοῦ ἦν υἱὸς καὶ ἐν δημόταις γέγονε καὶ αὐτὸς ἐν τῇ ἀγορᾷ προμετρῶν διατετέλεκεν.

4a. Suda π 2504 προμετρητής· ὁ τοὺς πιπρασκομένους
10 πυροὺς ἐν τῇ ἀγορᾷ καὶ τῶν ἄλλων σπερμάτων ἕκαστον διαμετρῶν, καὶ {ὁ} τούτου τοῦ ἔργου μισθὸν λαμβάνων προμετρητὴς ἐκαλεῖτο. Δείναρχος· ὁ Σκύθου τοῦ προμετρητοῦ υἱὸς ἐν δημόταις γέγονε, καὶ ὁ αὐτὸς ἐν τῇ ἀγορᾷ προμετρῶν διατετέλεκε καὶ
15 ὑμεῖς ἐκλαμβανόμενοι παρ' αὐτοῦ τοὺς πυροὺς διατελεῖτε.

5. Harpocr. s. v. σκαφηφόροι· Δείναρχος ἐν τῷ Κατὰ Ἀγασικλέους φησίν· οἱ ἀντὶ σκαφηφόρων ἔφηβοι εἰς τὴν ἀκρόπολιν ἀναβήσονται, οὐχ ὑμῖν ἔχον-
20 τες χάριν τῆς πολιτείας, ἀλλὰ τῷ τούτου ἀργυρίῳ, ἀντὶ τοῦ μέτοικοι· οὗτοι γὰρ ἐσκαφηφόρουν Ἀθήνησι. Δημήτριος γοῦν ἐν γ' Νομοθεσίας (FGrHist 228

4 Phot.(z) (ex Epit.); cf. Pollux 4, 166; Bk. Λέξ. ῥητ. 290, 33. — de officio τοῦ προμετρητοῦ v. Boeckh, Staatsh.[3] 1, 63. 304; Busolt-Swoboda, Gr. Staatsk. 1059 n. 2 || 17 Phot. Suda σ 544 (ex Epit.); cf. Bk. Λέξ. ῥητ. 304, 27 Poll. 3, 55 Hsch. — de re v. E. Cahen, D. A. „Panathenaia“ (4, 1, 307a) et E. Pottier, ibid. „scaphé“ (4, 2, 1113b—1114a); E. Pfuhl, De Athen. pompis sacris 22—23; Pfister, RE III A 1, 1927, 443—445; Deubner, Att. Feste 28; FGrHist 228 F 5; Pélékides, Hist. de l'éphébie attique, Paris 1962, 254

2 τ' Bk.: δ' Π (om. P) || 4 gl. om. ξ || 5 Δείν. etc. om. P || 6 ἦν add. Epit. || 7 αὐτὸς Epit.: οὕτως Π || 11 ὁ del. Bernh. || 12—16 προμετρητὴς ... διατελεῖτε om. F || 14—16 καὶ ... διατελεῖτε fonti rhet. attrib. Wentzel || 15 ἐκλαμβανόμενοι Bernh.: ἐκλαβόμενοι. verba omnino sic restituenda Saup. videntur: Σκύθου τοίνυν τοῦ προμετρητοῦ ἦν υἱὸς καὶ ἐν δημοσίοις γέγονε καὶ αὐτὸς ἐν τῇ ἀγορᾷ προμετρῶν διατετέλεκε καὶ ὑμεῖς ἐκλαμβανόμενοι παρ' αὐτοῦ τοὺς πυροὺς διατελεῖτε || 19 ἡμῖν BG || 22 γοῦν Π Phot.: οὖν ED Suda

F 5 = fr. 146 Wehrli) *φησὶν ὅτι προσέταττεν ὁ νόμος τοῖς μετοίκοις ἐν ταῖς πομπαῖς αὐτοὺς μὲν σκάφας φέρειν, τὰς δὲ θυγατέρας αὐτῶν ὑδρεῖα καὶ σκιάδεια· διείλεκται περὶ τούτων καὶ Θεόφραστος ἐν ι' Νόμων* (fr. 10 Hager = JPh 6, 1876, 2–3). 5

*XVII. *ΚΑΤΑ ΘΕΟΚΡΙΝΟΥ ΕΝΔΕΙΞΙΣ*

TESTIMONIA

1. [Demosth.] *Κατὰ Θεοκρίνου.* Arg. Libanii (8, 646 Foerster). *Τοῦτον τὸν λόγον οὐκ οἶδ' ὅπως ἐν τοῖς ἰδιωτικοῖς ἀναγράφουσιν οἱ πολλοὶ δημόσιον ὄντα φανερῶς· δῆλον δ' ἔσται τοῦτ' ἐξ αὐτῆς τῆς ὑποθέσεως. κατὰ τῶν* 10 *ἑτέρωσέ ποι καὶ μὴ Ἀθήναζε σεσιτηγηκότων ἐμπόρων ἢ ναυκλήρων Ἀθηναίων φάσεις ἦσαν δεδομέναι. νόμος δ' ἦν, ἐάν τίς τινα φήνας μὴ ἐπεξίῃ, ἢ ἐπεξιὼν μὴ λάβῃ τὸ πέμπτον μέρος τῶν ψήφων, χιλίας ἐκτίνειν τῷ δημοσίῳ, τοῖς δ' ὀφείλουσι μὴ ἐξεῖναι λέγειν, ⟨καὶ δεύτερος ...⟩, καὶ τρί-* 15 *τος, ἐὰν μή τις δόξῃ δικαίως εἰς ἐλευθερίαν ἀφελέσθαι τινά, τὸ ἥμισυ τοῦ τιμήματος ὀφείλειν τῷ δημοσίῳ. Ἐπιχάρης οὖν ἐνέδειξε Θεοκρίνην οὐκ ἐξὸν αὐτῷ λέγειν ἐκ τριῶν τούτων νόμων. καὶ γὰρ Μίκων' ὡς ἑτέρωσέ ποι σεσιτηγηκότα φῆναι μὲν αὐτὸν λέγει, μὴ ἐπεξελθεῖν δέ,* 20 *καὶ ἐπιμελητὴν ὑπὸ τῶν φυλετῶν ἀποδειχθέντ' ἐν εὐθύναις ἁλῶναι κλοπῆς χρημάτων, ἃ ἦν ἱερὰ τῶν ἐπωνύμων, καὶ τρίτον Κηφισοδώρου θεράπαιναν εἰς ἐλευθερίαν ἀδίκως ἀφελόμενον τὸν πατέρα τὸν Θεοκρίνου προσοφλῆσαι*

6 exstat haec oratio in corpore Demosthenico (58); v. Sauppe, O.A. 2, 332b; Schäfer, Demosth.² 3/2, 266–280; Marenghi, Dinarco 41, n. 23; cf. et. C. H. Roberts, Catal. of the Greek and Latin Papyri in the John Rylands Library Manchester, vol. III, 199–200; Pfeiffer, Callim. fr. 444; D. Lewis, ABSA 50, 1955, 32; Shoemaker 226–228; Marenghi, Dinarco 128

3 *σκιάδεια* γ**B**: *σκιάδια* cett. || 4 *ἐν ι'* **C**: *ἐνὶ* **VB**: *ἐν τῷ δεκάτῳ* Ald.: *ἐν ιβ'* Schleusner || 15 lac. stat. Wolf sic explendam: *καὶ δεύτερος τὸν ἁλόντα κλοπῆς ἱερῶν χρημάτων ἄτιμον εἶναι,* solum *καὶ δεύτερος ...* Foerster || 24 *τὸν²* **DS**: *τοῦ* vulg.

δραχμὰς πεντακοσίας. ἐπὶ τούτοις μὲν ἡ ἔνδειξις, καὶ τὸ πρᾶγμα φανερῶς δημόσιον. τὸν δὲ λόγον οἱ πολλοὶ νομίζουσιν εἶναι Δεινάρχου, καίτοι γ' οὐκ ἀπεοικότα τῶν τοῦ Δημοσθένους.

5 2. Harpocr. s. v. *Θεοκρίνης· Δημοσθένης ἐν τῷ Ὑπὲρ Κτησιφῶντος* (18, 313) *λοιδορούμενος Αἰσχίνῃ φησί· τραγικὸς Θεοκρίνης. βούλεται δὲ λέγειν αὐτὸν συκοφάντην, ἐπειδὴ ὁ Θεοκρίνης τοιοῦτος, ὡς ἔστι δῆλον ἐκ τοῦ Κατὰ Θεοκρίνου εἴτε Δημοσθένους ἐστὶν εἴτε Δεινάρχου οὗτος* 10 *ὁ λόγος· τὸν γοῦν πάλαι μὲν ὑποκριτὴν τραγικόν, ὕστερον δὲ συκοφάντην εἰκότως ὠνόμασε τραγικὸν Θεοκρίνην.*

FRAGMENTA

1. Dionys. Halic. de Din. 10, p. 312, 21 R. *Κατὰ Θεοκρίνου ἔνδειξις· τοῦ πατρὸς ⟨ἡμῶν⟩, ὦ ἄνδρες. τοῦτον Καλλίμαχος ἐν τοῖς Δημοσθένους φέρει.*

15 2. Harpocr. s. v. *ἀγραφίου· εἶδός τι δίκης οὕτω καλουμένης κατὰ τῶν ὀφειλόντων μὲν τῷ δημοσίῳ καὶ διὰ τοῦτο ἐγγραφέντων, εἶτα πρὶν ἐκτεῖσαι ἐξαλειφθέντων. διδάσκουσι δὲ τοῦθ' οὕτως ἔχειν Δημοσθένης* ([58], 51) *τε* [*ἢ*] *Δείναρχος ἐν τῷ Κατὰ Θεοκρίνου καὶ Λυκοῦργος ἐν* 20 *τῷ Κατ' Ἀριστογείτονος* (II 2 Con.), *ἔτι τε Πυθέας ἐν τῇ πρὸς τὴν ἔνδειξιν ἀπολογίᾳ* (II 2 Turr.).

5 Phot. Suda ϑ 165 (ex Epit.); cf. Paroem. Gr., Ap. 17, 21. — de Theocrine v. Kirchner, P. A. 6946; Fiehn, RE V A 2, 1934, 2000 || 15 Phot.(bz) Suda α 343 Bachm. Anecd. 15, 24 Cram. Anecd. Oxon. 2, 488, 7 (ex Epit.); cf. Et[M] 13, 15 Poll. 8, 54 Bk. ΔΟ 184, 23. — de causa v. Thalheim, RE I 1, 1893, 889; P. Photiades, Ἀθηνᾶ 11, 1899, 7—25; A. S. Arvanitopullo, Questioni di dir. att., 28 ss.; Lipsius, A. R. 410—412. 445; W. A. Coligher, Hermathena 49, 1935, 80—82; Conomis, Klio 39, 1961, 88

6 *αἰσχίνῃ* MXBG: *-ίνης* cett. || 13 *τοῦ* suprascr. F[1] | *ἡμῶν* add. Shoemaker cl. Demosth. 58, 1 | *ἄνδρες*] *Ἀθηναῖοι* Victor. Rei. codicis compendium sic interpretati || 15 *εἶδος* om. Q || 16—17 *καὶ διὰ τοῦτο ἐγγρ.* om. Bl., fort. recte || 17 *ἐκτεῖσαι* Bl.: *ἐκτῖσαι* || 19 *ἢ* Vales.: *καὶ* || 20 *πυθέας* A et ci. Maussac: *-ίας* cett.

XVIII. *ΚΑΤΑ ΣΤΕΦΑΝΟΥ ΠΑΡΑΝΟΜΩΝ*

1. Dionys. Halic. de Din. 10, p. 312, 1 R. *Κατὰ Στεφάνου ⌈παρ⌉ανόμων· †ὑπάρχει† τοῦ νόμου δεδωκότος, ὦ ἄνδρες.*

2. Harpocr. s. v. *γηπέδων· Δείναρχος ἐν τῷ Κατὰ* 5 *Στεφάνου. γήπεδον τὸ χωρίον, ὥσπερ καὶ οἰκόπεδον τὸ γῇ καὶ οἰκήμασιν ἀπαρτιζόμενον. Πλάτων γοῦν ἐν ε' Νόμων* (741 c) *φησίν· ὧν ἔλαχεν οἰκοπέδων ἢ γηπέδων.*

3. Harpocr. s. v. *δημοτελῆ καὶ δημοτικὰ ἱερά· διέφερον ἀλλήλων καὶ τῶν ὀργεωνικῶν καὶ τῶν γενικῶν,* 10 *ὡς Δείναρχος δηλοῖ ἐν τῷ Κατὰ Στεφάνου.*

4. Harpocr. s. v. *Ἑρχιᾶθεν· Δείναρχος Κατὰ Στεφάνου. Ἑρχιὰ δῆμός ἐστι τῆς Αἰγηίδος, ὥς φησι Διόδωρος* (FGrHist 372 F *5).

5. Harpocr. s. v. *Παιανιεῖς καὶ Παιονίδαι· Αἰσχί-* 15

1 de oratione v. Sauppe, O. A. 2, 332b; Blass 299, nr. 18; Shoemaker 232—234. — de Stephano v. Kirchner, P. A. 12879 ‖ 3 *τοῦ νόμου δεδωκότος, ὦ ἄ.*] cf. orat. LX 1 ‖ 5 Phot.(z) Suda *γ* 244 Et[M] 230, 16 (ex Epit.); sed cf. etiam Bk. Anecd. 32, 1 *Λέξ. ῥητ.* 227, 22 Steph. Byz. s. v. *γῆ*. de sensu cf. M. I. Finley, Land and Credit in Ancient Athens, 1952, 59—60 et v. W. Kendrick Pritchett, Hesperia 25, 1956, 263—264 (ubi hic locus deest); cf. ibid. 265—267. 268—269 ‖ 9 Phot.(z) Suda *δ* 463 ... *Δημοτελῆ* (ex Epit.) et cf. Bk. *Λέξ. ῥητ.* 240, 28 Hsch. — de *δημοτελῆ* et *δημοτικὰ ἱερὰ* v. et. A. Mommsen, Heortologie, Leipzig 1864, 307 n.; M. S. L., Att. Process 618—619; Dittenberger, Hermes 26, 1891, 474—477; cf. Holleaux, Études d'Épigraphie et d'Histoire Grecques, Paris 1938, 2, 101—102; L. Robert, RPh 1929, 157 et BCH 57, 1933, 520—521; F. Sokolowski, Lois sacrées des cités grecques, Paris 1969, 196 ‖ 12 Phot. Suda *ε* 3113 (ex Epit., sed *Ἑρχιάθαι*); cf. Steph. Byz. s. v. *Ἑρχιά*. — de pago v. Schoeffer, RE V 1, 1903, 59 nr. 54; Milchhöfer, RE VI 1, 1907, 398—399

3 *παρανόμων* Sylburg: *ἴ ασανόμων* **F**: *παράνομον* Saup. | *παρανόμων· ὑπάρχει* Sylburg: *παρανόμων ὑπάρχει* Rei.: *παράνομον ὑπάρχει* Saup. | *ὑπάρχει*] fort. *ὑπὲρ Ἀρχίου* Rei. ‖ 5 *γηπέδων ⟨καὶ χωρίων⟩· Δείν.* Dobr. ‖ 9 *ἱερά*] *ἱερεῖα Λέξ. ῥητ.* ‖ 10 *τῶν*² add. **PM** Epit. ‖ 12 *Ἑρχιᾶθεν* Epit. (*Ἐρχιάθαι* Phot. Suda) Steph. Byz. (**V**): *ἐρχειίαθεν* ***Π*** ‖ 13 *Ἑρχιὰ* Ddf. (*Ἑρχιὰ* Steph. Byz. (**M**): *Ἑρχεία* (*-χία* Epit.) | *αἰγηίδος* ***Π***: *ἀττικῆς* Epit.

νης ἐν τῷ Κατὰ Κτησιφῶντος (3, 51)· ὅτ' ἐγράψατο εἰς Ἄρειον πάγον Δημομέλη τὸν Παιανιέα ἀνεψιὸν ὄντα. Δίδυμος (p. 317 Schmidt) γραπτέον εἶναί φησι Παιανιᾶ, χωρὶς τοῦ ⌈ε⌉. εἰσὶ δὲ διττοὶ δῆμοι Παιανιέων τῆς Παν-
5 διονίδος φυλῆς, ⌈οὓς⌉ Διόδωρος (FGrHist 372 F *9) καλεῖσθαί φησι Παιανίαν καθύπερθεν καὶ Παιανίαν ὑπένερθεν· ὁμοίως δ' ἑκατέρου τῶν δήμων τὸν δημότην καλεῖσθαί φησι Παιανιέα. διαφέρουσι δὲ οὗτοι τῶν Παιονιδῶν, ὡς Ἴστρος ἐν Ἀτάκτω⟨ν⟩ (?) (FGrHist 334 F 21) ὑποση-
10 μαίνει. μνημονεύουσι δὲ καὶ τούτων οἱ ῥήτορες, ὥσπερ καὶ Δείναρχος ἐν τῷ Κατὰ Στεφάνου περὶ τοῦ ὀχετοῦ. δῆμος δέ ἐστιν {καὶ} οὗτος τῆς Λεοντίδος, ὡς ὁ αὐτὸς Διόδωρος (FGrHist 372 F *13) δηλοῖ.

6. Harpocr. s. v. Παλληνεύς· Ὑπερείδης ἐν τῇ ὑπὲρ
15 Χαιρεφίλου ἀπολογίᾳ (fr. 190 J.). Παλλήνη δῆμος τῆς Ἀντιοχίδος. τὸ δὲ ἐκ τόπου ἐπίρρημα Δείναρχος ἐν τῷ Κατὰ Στεφάνου Παλλήνηθέν φησιν, ὁ δὲ δημότης Παλληνεύς. ὅτι δ' ἐστὶ καὶ ἐν Θρᾴκῃ Παλλήνη, γνώριμον.

7. Harpocr. s. v. ὑποκυδεῖς γάρ εἰσιν οἱ τόποι·
20 Δείναρχος ἐν τῷ Κατὰ Στεφάνου. ὑποκυδής ἐστιν ὁ δίυγρος, ὡς ἐκ τῆς γ' Κτησίου (FGrHist 688 F 62) φανερόν ἐστιν. Εὐφορίων (fr. 181 Scheidw. = 138 Powell, Collect. Alex.)·

οἷόν ⌈θ'⌉ εἰαμενῆς ὑποκυδέ⌈ο⌉ς.

14 Phot. Suda π 78 (ex Epit.); cf. etiam Steph. Byz. s. v. Παλλήνη (ad fin.). — de Παλλήνη v. Wiesner, RE XVIII 3, 1949, 247 ‖ 19 Phot. Suda υ 465 (ex Epit.); cf. Bk. Λέξ. ῥητ. 312, 5 ὑποκυδεῖς τίνες εἰσί· κοῖλοι τόποι. de sensu v. ὑποκυδής vid. LSJ s. v.

1—2 ἐγράψατο ... Δημομέλη corr. ex Aeschin.: ἐγράψαντο ... δημοσίᾳ ‖ 3—4 Δίδυμος ... χωρὶς τοῦ ε om. PG | Παιανιᾶ, χωρὶς τοῦ ε Francke, cf. Wackernagel, Glotta 14, 1925, 63: παιανιέα χωρὶς τοῦ η codd.: Παιανέα χωρὶς τοῦ ι Bk. ‖ 5—6 οὓς — ὑπένερθεν om. P ‖ 5 οὓς Blancard: ὡς ‖ 6 Παιανίαν bis Ddf.: -ιέαν (-ιέων A) (-ιέα G) codd.: -ίαν -ιαίαν ... παιανίαι Epit. ‖ 9 Ἀτάκτων Jac. dubit.: ἀτάκτῳ codd.: Ἀτάκτοις Ddf. ‖ 12 ἐστιν Saup.: ἐστι καὶ codd. | ὁ add. AZ ‖ 17 ὁ δὲ Epit.: ὁ οὖν Π ‖ 24 θ' εἰαμενῆς Mein.: τ' εἰαμενῆς vulg. | ὑποκυδέος Salmas.: -δέες

ἐν ἐνίοις μέντοι τῶν ἀντιγράφων παρὰ τῷ ῥήτορι γέγραπται ὑπόκοιλοι.

XIX. ΚΑΤΑ ΚΑΛΛΙΣΘΕΝΟΥΣ ΕΙΣΑΓΓΕΛΙΑ

1. Dionys. Halic. de Din. 10, p. 312, 3 R. *Κατὰ Κ[αλλι]σθένους εἰσαγγελία· οὐκ ἀγνοῶ, ⟨ὦ⟩ ἄνδρες.* 5

*2. Harpocr. s. v. *βουλαία· Δείναρχος ἐν τῇ Κατὰ Καλλισθένους ἐνδείξει· μαρτύρομαι τὴν Ἑστίαν τὴν βουλαίαν, οἷον τὴν ἐν τῇ βουλῇ ἱδρυμένην.*

3. Harpocr. s. v. *διάμετρον· τὸ ἐλλεῖπον ἀπὸ τοῦ δικαίως μετρηθέντος· Δείναρχος ἐν τῇ Κατὰ Καλλισθένους εἰσαγγελίᾳ.* 10

4. Harpocr. s. v. *ἡμίεκτον καὶ ἡμιμέδιμνον· Δείναρχος ἐν τῇ Κατὰ Καλλισθένους εἰσαγγελίᾳ. τοῦ μεδίμνου ἔχοντος χοίνικας μη', τὸ χωροῦν κδ' χοίνικας ἡμιμέδιμνόν ἐστιν, ἡμίεκτον δὲ τὸ χωροῦν δ' χοίνικας, τοῦ* 15 *ἕκτου, ὅπερ ἐστὶ χοίνικες η', τὸ ἥμισυ.*

5. Harpocr. s. v. *κόμματα καὶ κυρήβια· Δείναρχος ἐν τῇ Κατὰ Καλλισθένους εἰσαγγελίᾳ. τὰ μὲν κυρήβιά ἐστι τὰ πίτυρα, τὰ δὲ κόμματα ἔοικεν εἶναι μέρη τινὰ ἢ τῆς καλάμης ἢ τῶν περὶ τὸν σῖτον αὐτὸν ἐν τῷ στάχυι γιγνο-* 20 *μένων ἢ τῶν ἀνθερίκων.*

3 de oratione v. Sauppe, O. A. 2, 333a; Shoemaker 243—245. — de Callisthene v. Schäfer, Demosth.[2] 3, 137 n. 2; Kirchner, P. A. 8090 (dubit.) ‖ 6 Suda β 424 (ex Epit.); cf. Phot.(z) Bachm. Anecd. 181, 9; v. Shoemaker 235—237. — de *Ἑστία βουλαία* cf. schol. ad Aeschin. 2, 45; vide et. Farnell, Cults 5, 348—355 et n. p. 369; Wycherley, Test. p. 128 al.; Rhodes, The Athen. Boule, 34. 132 ‖ 9 Phot.(z) Suda δ 653 *διάμετρος ... Δείν.* (ex Epit.); cf. Hsch. s. v. *διάμετρος* ‖ 12 cf. Phot. Suda η 328 Bk. *Λέξ. ῥητ.* 262, 28. 32; v. Viedebantt, RE XV 1, 1931, 86—88 ‖ 17 Suda κ 1985 (ex Epit.); cf. Bk. *Λέξ. ῥητ.* 272, 24 Et[M] 512, 6. — *κόμμα* = palea

